εὐ-πορέω: to prosper, thrive, be well off, 1
μέλλω: to be about to, intend to (fut. inf.) 19
μῶν (μὴ οὖν): surely not? (expects a no reply)
πάλαι: for some time, long ago, of old, 13
πῃ: in some way, somehow, 4
πλεῖστος, -η, -ον: most, greatest, 3
προ-ωθέω: to push forward, 1
σμικρός, -ά, -όν: small, little, 19
συμπαραλαμβάνω: take along (as a helper) 2
ὑπ-οψία, ἡ: suspicion, apprehension, 1

3 **ὡς ἰδεῖν ἐφαίνετο**: *as it seemed to look at*; epexegetic (explanatory) aor. inf. ὁράω (εἶδον), impersonal use of φαίνομαι
4 **σμικρὸν**: *lowly*; or 'barely' adverbial acc., the two are talking so quietly that Socrates cannot make out the words
ἀλλήλω: dual acc.
διελεγέσθην: dual 3rd pers. aor. pass. dep.
5 **ἰδὼν**: aor. pple ὁράω (εἶδον)
ἤρετο: aor. ἔρομαι
τὰ λεχθέντα: *things said*; aor. pass. λέγω
μῶν μὴ: *surely do not seem…*; expecting a no reply; for the repetition of μή: S 2651c
6 **ἔχει**: *(the account) has…*; add subject
7 **εἴ γε δή**: *if, at any rate indeed*; γε δή reinforce one another and are emphatic and restrictive (GP 245)
εἰ μὲν οὖν...εἰ δὲ: *if then….but if…*
8 **σκοπεῖσθον**: *you two are considering*; dual 2nd pers. pres. mid. σκοπέω
οὐδὲν: *nothing (important)*; i.e. nonsense
τι: *at all*; inner acc.
9 **ἀπορεῖτον**: *you two…*; dual 2nd pers. pres. act. ἀπορέω
μηδὲν ἀποκνήσητε: *do not at all….*; + inf., prohibitive subj. (μη + aor. subj.) μηδὲν is an inner acc.
d1 **ἂν λεχθῆναι**: *could have been said*; ἄν + aor. pass. inf. indicates past (unrealized) potential (ἄν + aor.) in direct speech or potential opt. (e.g. 'could be said')
καὶ αὖ καὶ: *and moreover also*
2 **τι**: *at all*; inner acc.
4 **καὶ μὴν**: *well certainly*; GP 356
ἐρῶ: ἐρέω, fut. λέγω
5 **πάλαι...προωθεῖ**: *has been pushing the other*; pf.. progressive in sense

καὶ κελεύει ἐρέσθαι διὰ τὸ ἐπιθυμεῖν μὲν ἀκοῦσαι, ὀκνεῖν δὲ ὄχλον παρέχειν, μή σοι ἀηδὲς ᾖ διὰ τὴν παροῦσαν συμφοράν.

καὶ ὃς ἀκούσας ἐγέλασέν τε ἠρέμα καί φησιν· Βαβαί, ὦ Σιμμία· ἦ που χαλεπῶς ἂν τοὺς ἄλλους ἀνθρώπους πεί-
e σαιμι ὡς οὐ συμφορὰν ἡγοῦμαι τὴν παροῦσαν τύχην, ὅτε γε μηδ' ὑμᾶς δύναμαι πείθειν, ἀλλὰ φοβεῖσθε μὴ δυσκολώ-τερόν τι νῦν διάκειμαι ἢ ἐν τῷ πρόσθεν βίῳ· καί, ὡς ἔοικε, τῶν κύκνων δοκῶ φαυλότερος ὑμῖν εἶναι τὴν μαντικήν, οἳ
5 ἐπειδὰν αἴσθωνται ὅτι δεῖ αὐτοὺς ἀποθανεῖν, ᾄδοντες καὶ ἐν
85 τῷ πρόσθεν χρόνῳ, τότε δὴ πλεῖστα καὶ κάλλιστα ᾄδουσι, γεγηθότες ὅτι μέλλουσι παρὰ τὸν θεὸν ἀπιέναι οὗπέρ εἰσι θεράποντες. οἱ δ' ἄνθρωποι διὰ τὸ αὑτῶν δέος τοῦ θανάτου

ᾄδω (ἀείδω): to sing, 7
ἀ-ηδής, -ές: unpleasant, disagreeable, 3
αἰσθάνομαι: perceive, feel, learn, realize, 11
ἀπ-έρχομαι: to go away, depart, 14
Βαβαί: ah-ha, bless me (in shock), 1
γελάω: to laugh, 6
γηθέω: to rejoice, 1
δέος, τό: fear, alarm, 1
διά-κειμαι: to be disposed, be affected, 3
δυσ-σκολός, -ή, -όν: hard to please, 1
ἐπι-θυμέω: to desire, long for, 10
ἔρομαι: to ask, enquire, question, 12
ἦ: in truth, truly (begins open question), 5
ἠρέμα: gently, softly, quietly, 3
θεράπων, -οντος ὁ: attendant, assistant, 1
κάλλιστα: most nobly, most beautifully, 2
κελεύω: to bid, order, command, exhort, 8
κύκνος, ὁ: a swan, 4
μαντικός, -ή, -όν: prophetic, oracular, 3
μέλλω: to be about to, intend to (fut. inf.) 19
ὀκνέω: to shirk, hesitate, hang back, 1
ὄχλος, ὁ: trouble; crowd, throng, mob, 1
παρ-έχω: to provide, furnish, supply, 16
πλεῖστος, -η, -ον: most, greatest, 3
πρόσθεν: before, 10
συμ-φορά, ἡ: misfortune, mishap, 3
τύχη, ἡ: chance, luck, fortune, 5
φαῦλος –η -ον: slight, trifling, insignificant, 9
φοβέω: to terrify, frighten; *mid.* fear, 15
χαλεπός, -ά, -όν: difficult, hard, harmful, 5

6 **ἐρέσθαι**: inf. ἔρομαι
ἀκοῦσαι: *to hear (your response)*; aor. inf. object of articular inf. τὸ ἐπιθυμεῖν
(διὰ τὸ) ὀκνεῖν δὲ: *but (ov account of) skrinking from*; + inf., an articular inf.; 2nd object of διὰ and parallel to ἐπιθυμεῖν
7 **μὴ...ᾖ**: *that…*; fearing clause, μή + subj. εἰμί
παροῦσαν: *present*; pple πάρειμι
8 **ὃς**: *this one*; demonstrative
9 **χαλεπῶς**: *with difficulty*
ἂν...πείσαιμι: *I would…*; potential opt.
e1 **ὡς**: *that…*
ὅτε γε: *when at any rate…*
2 **φοβεῖσθε**: *you are afraid*; 2s mid.
3 **μὴ...διάκειμαι**: *that…*; 'lest,' fearing clause, μή governs a subjunctive for fear regarding the future and an indicative, as here, for a fear regarding the present or past (S 2233)
δυσκολώτερον: comparative adv.
3 **τι**: *somewhat, at all*; acc. of extent by degree with the comparative
4 **τῶν κύκνων**: *than…*; gen. of comparison
τὴν μαντικήν (τέχνην): *in prophetic art*; acc. of respect
85a1 **πλεῖστα καὶ κάλλιστα**: superlative advs.
2 **γεγηθότες**: *being joyous because*; pf. pple
οὗπέρ...: *whose servants they are*
3 **αὑτῶν**: *their own*; ἑαυτῶν

καὶ τῶν κύκνων καταψεύδονται, καί φασιν αὐτοὺς θρηνοῦντας
τὸν θάνατον ὑπὸ λύπης ἐξᾴδειν, καὶ οὐ λογίζονται ὅτι οὐδὲν 5
ὄρνεον ᾄδει ὅταν πεινῇ ἢ ῥιγῷ ἤ τινα ἄλλην λύπην λυπῆται,
οὐδὲ αὐτὴ ἥ τε ἀηδὼν καὶ χελιδὼν καὶ ὁ ἔποψ, ἃ δή φασι
διὰ λύπην θρηνοῦντα ᾄδειν. ἀλλ᾽ οὔτε ταῦτά μοι φαίνεται
λυπούμενα ᾄδειν οὔτε οἱ κύκνοι, ἀλλ᾽ ἅτε οἶμαι τοῦ Ἀπόλ- **b**
λωνος ὄντες, μαντικοί τέ εἰσι καὶ προειδότες τὰ ἐν Ἅιδου
ἀγαθὰ ᾄδουσι καὶ τέρπονται ἐκείνην τὴν ἡμέραν διαφερόντως
ἢ ἐν τῷ ἔμπροσθεν χρόνῳ. ἐγὼ δὲ καὶ αὐτὸς ἡγοῦμαι
ὁμόδουλός τε εἶναι τῶν κύκνων καὶ ἱερὸς τοῦ αὐτοῦ θεοῦ, 5
καὶ οὐ χεῖρον ἐκείνων τὴν μαντικὴν ἔχειν παρὰ τοῦ δεσπότου,
οὐδὲ δυσθυμότερον αὐτῶν τοῦ βίου ἀπαλλάττεσθαι. ἀλλὰ

ἀηδών, -ονος, ἡ: a nightingale, 1
ᾄδω (ἀείδω): to sing, 7
Ἅιδης, -ου ὁ: Hades, 15
ἀπ-αλλάττω: escape, release; set free, 15
Ἀπόλλω, Ἀπόλλωνος, ὁ: Apollo, 4
ἅτε: inasmuch as, since, seeing that (+ pple) 6
δεσπότης, ὁ: master, lord, 6
δια-φερόντως: especially; differently, 4
δύσ-θυμος, -ον: despondent, melancholy, 1
ἔμ-προσθεν: before, former; earlier, 7
ἐξ-ᾄδω: to sing out (one's last song), 1
ἔποψ, -οπος, ὁ: hoopoe (bird), 1
ἡμέρα, ἡ: day, 7
θρηνέω: wail, bewail, sing a dirge, 2
ἱερός, -ή, -όν: holy, divine; temple 2
καταψεύδομαι: to speak falsely of (gen) 1
κύκνος, ὁ: a swan, 4
λογίζομαι: to reason, calculate, count, 9
λυπέω: to cause pain, distress, grief, 5
λύπη, ἡ: pain, grief, 8
μαντικός, -ή, -όν: prophetic, oracular, 3
ὁμό-δουλος, ὁ: fellow slave, 1
ὄρνεον, τό (ὄρνις): bird, 1
πεινάω: to be hungry, crave, 1
προ-οίδα: to know beforehand, 3
ῥιγόω: to be cold, shiver, 1
τέρπομαι: to satisfy, delight, 1
χείρων, -ον, (-οντος): worse, inferior, 5
χελιδών, -όνος, ἡ: a swallow (bird), 1

4 **φασιν**: *they claim*; i.e. the people claim
αὐτοὺς: *that they…*; i.e. geese, acc. subject
5 **ὑπὸ**: *because of…*; gen. of cause
6 **πεινῇ...ῥιγῷ...λυπῆται**: 3s pres. subj. α-contract, ο-contract, and ε-contract verbs, indefinite temporal clause
7 **οὐδὲ**: *not even*
ἃ δή: *which very (birds)…*; acc. subj., the the neut. pl. refers to neut. τό ὄρνεον (l. 4)
φασι: i.e. the people say
8 **ταῦτα**: *these (birds)*
b1 **ἅτε...ὄντες**: *inasmuch as…*; 'since,' ἅτε + pple indicates cause from the speaker's point of view, pple of εἰμί
οἶμαι: parenthetical, οἴομαι
τοῦ Ἀπόλλωνος: *Apollo's (birds)*; gen. predicate of the pple εἰμί
εἰσι: 3p pres. εἰμί
2 **προειδότες**: pple προ-οίδα
ἐν Ἅιδου: *in Hades' (house)*
3 **ἐκείνην...ἡμέραν**: *during…*; acc. duration
διαφερόντως ἢ: *differently from*; i.e. more than
4 **καὶ**: *also*
6 **οὐ χεῖρον ἐκείνων**: *no worse than these*; comparative adv. and gen. of comparison
παρὰ: *from…*; gen. of source
7 **δυσθυμότερον αὐτῶν**: see line 6
τοῦ βίου: *from…*; gen. of separation

τούτου γ᾽ ἕνεκα λέγειν τε χρὴ καὶ ἐρωτᾶν ὅτι ἂν βούλησθε, ἕως ἂν Ἀθηναίων ἐῶσιν ἄνδρες ἔνδεκα.

10 *καλῶς, ἔφη, λέγεις, ὁ Σιμμίας· καὶ ἐγώ τέ σοι ἐρῶ ὃ*
c *ἀπορῶ, καὶ αὖ ὅδε, ᾗ οὐκ ἀποδέχεται τὰ εἰρημένα. ἐμοὶ γὰρ δοκεῖ, ὦ Σώκρατες, περὶ τῶν τοιούτων ἴσως ὥσπερ καὶ σοὶ τὸ μὲν σαφὲς εἰδέναι ἐν τῷ νῦν βίῳ ἢ ἀδύνατον εἶναι ἢ παγχάλεπόν τι, τὸ μέντοι αὖ τὰ λεγόμενα περὶ αὐτῶν μὴ*
5 *οὐχὶ παντὶ τρόπῳ ἐλέγχειν καὶ μὴ προαφίστασθαι πρὶν ἂν πανταχῇ σκοπῶν ἀπείπῃ τις, πάνυ μαλθακοῦ εἶναι ἀνδρός· δεῖν γὰρ περὶ αὐτὰ ἕν γέ τι τούτων διαπράξασθαι, ἢ μαθεῖν ὅπῃ ἔχει ἢ εὑρεῖν ἤ, εἰ ταῦτα ἀδύνατον, τὸν γοῦν βέλ-τιστον τῶν ἀνθρωπίνων λόγων λαβόντα καὶ δυσεξελεγκτό-*

ἀ-δύνατος, -ον: unable, incapable, impossible, 6
Ἀθηναῖος, -α, -ον: Athenian, of Athens, 6
ἀνθρώπινος, -η, -ον: belonging to human, human, 7
ἀπ-εῖπον: to forbid, deny, give up, 1
ἀπο-δέχομαι: to accept, receive, 9
ἀ-πορέω: be at a loss, puzzled, bewildered, 4
βέλτιστος, -η, -ον: best, 14
γοῦν: γε οὖν, at least, at any rate, any way, 4
δια-πράττω: to accomplish, effect, 1
δυσ-εξ-έλεγκτος, -ον: difficult to refute, 1
ἐάω: to permit, allow, let be, suffer, 9
ἐλέγχω: cross-examine, refute; disgrace, 1
ἕν-δεκα: eleven, 3
ἕνεκα: for the sake of, because of, for (gen.) 13
ἐρωτάω: to ask, inquire, question, 10
εὑρίσκω: to find, discover, devise, invent, 8
ἕως: until, as long as, 15
καλῶς: well; beautifully, 11
μαλθακός, -ή, -όν: soft, gentle; faint-hearted, 1
μανθάνω: to learn, understand, 12
ὅπῃ: where; in what way, how, 11
παγ-χάλεπος, -η, -ον: very difficult, 1
παντα-χῇ: everywhere, in every way, 3
προ-αφίσταμαι: to cease beforehand, 1
σαφής, -ές: clear, distinct; certain, reliable, 16
τρόπος, ὁ: a manner, way; turn, direction, 17

8 **ἐρωτᾶν**: inf. α-contract verb
ὅτι ἂν: *whatever…*; ὅ τι, indefinite relative
9 **ἕως...ἐῶσιν**: 3p pres. ἐάω
10 **καλῶς**: *well*
ἐγώ τε...καὶ αὖ ὅδε: *both I will speak…and in turn this one here (will speak)*; i.e. Cebes
c1 **ᾗ οὐκ ἀποδέχεται**: *in what way he…* relative clause, dat. of manner
τὰ εἰρημένα: pf. pass. pple, λέγω (ἐρ)
2 **καὶ**: *also*; or 'too,' adverbial
3 **τὸ...εἰδέναι**: *that to know something reliable*; inf. οἶδα is subject of εἶναι
4 **τὸ μέντοι αὖ...μὴ οὐχὶ ἐλέγχειν**: *however, not to question in turn…*; μὴ οὐχὶ + inf. may follow a negatived verb; this articular inf. is the subject of εἶναι from line 6
5 **παντὶ τρόπῳ**: *in…*; dat. of manner
ἀπείπῃ: *renounces from examining*; 3s aor. subj. in an indefinite temporal clause
6 **πάνυ μαλθακοῦ εἶναι ἀνδρός**: *is (the sign) of quite a weak man*; gen. predicate, the two articular infinitives τὸ ἐλέγχειν and τὸ προαφίστασθαι are subject
7 **δεῖν γὰρ**: *for that it is necessary*
ἕν γέ τι: *some one thing at least*; γε is restrictive, obj. of aor. inf. διαπράξασθαι
ἢ...ἢ...ἤ: *either…or…or*
8 **ὅπῃ ἔχει**: *in what way he is able*
εἰ ταῦτα (διαπράξασθαι): *if (to do) these is*
9 **τῶν...λόγων**: i.e. of things said by men

τατον, ἐπὶ τούτου ὀχούμενον ὥσπερ ἐπὶ σχεδίας κινδυνεύοντα **d**
διαπλεῦσαι τὸν βίον, εἰ μή τις δύναιτο ἀσφαλέστερον καὶ
ἀκινδυνότερον ἐπὶ βεβαιοτέρου ὀχήματος, ἢ λόγου θείου
τινός, διαπορευθῆναι. καὶ δὴ καὶ νῦν ἔγωγε οὐκ ἐπαισχυν-
θήσομαι ἐρέσθαι, ἐπειδὴ καὶ σὺ ταῦτα λέγεις, οὐδ' ἐμαυ- 5
τὸν αἰτιάσομαι ἐν ὑστέρῳ χρόνῳ ὅτι νῦν οὐκ εἶπον ἅ μοι
δοκεῖ. ἐμοὶ γάρ, ὦ Σώκρατες, ἐπειδὴ καὶ πρὸς ἐμαυτὸν
καὶ πρὸς τόνδε σκοπῶ τὰ εἰρημένα, οὐ πάνυ φαίνεται ἱκανῶς
εἰρῆσθαι. 10

καὶ ὁ Σωκράτης, ἴσως γάρ, ἔφη, ὦ ἑταῖρε, ἀληθῆ σοι **e**
φαίνεται· ἀλλὰ λέγε ὅπῃ δὴ οὐχ ἱκανῶς.

ταύτῃ ἔμοιγε, ἢ δ' ὅς, ᾗ δὴ καὶ περὶ ἁρμονίας ἄν τις καὶ

αἰτιάομαι: accuse, charge; blame, 4
ἀ-σφαλής, -ές: safe, secure, not liable to fall 6
βέβαιος, -α, -ον: steadfast, steady, firm, 3
δια-πλέω: to sail through, 1
δια-πορεύω: to travel through, 1
δύναμαι: to be able, can, be capable, 15
ἐπ-αισχύνομαι: to be ashamed to, 1
ἔρομαι: to ask, enquire, question, 12
ἑταῖρος, ὁ: a comrade, companion, mate, 11
θεῖος, -α, -ον: divine, sent by the gods, 15
κινδυνεύω: to risk, venture; it is likely, 7
κίνδυνος, ὁ: risk, danger, venture, 2
ὅπῃ: where; in what way, how, 11
ὀχέω: to ride, carry, convey, 1
ὀχῆμα, -ατος, τό: raft, vehicle, carriage, 2
σχέδια, ἡ: raft, make-shift boat, 1
ὕστερος, -α, -ον: later, last; *adv*. later 17

d1 **ἐπὶ τούτου ὀχούμενον**: *conveyed upon it*
ἐπὶ: *upon*
2 **διαπλεῦσαι**: aor. inf. διαπλέω
εἰ μή...δύναιτο: *unless one should…*; pres. opt., equivalent to an apodosis in a fut. less vivid condition
3 **ἀσφαλέστερον καὶ ἀκινδυνότερον**: comparative adverbs
ἢ λόγου θείου τινός: *or some divine proclamation*; in apposition to ὀχήματος
4 **διαπορευθῆναι**: aor. pass. dep. inf.
καὶ δὴ καὶ νῦν: *and in particular now*; 'and especially now', lit. 'and indeed also now'
5 **καὶ**: *also, too*
6 **εἶπον**: 1s aor. λέγω
7 **πρὸς...πρὸς...σκοπῶ**: *I examine with…*
9 **τὰ εἰρημένα**: pf. pass. pple λέγω (ἐρ)
οὐ πάνυ: *not quite*
10 **εἰρῆσθαι**: pf. pass. inf. λέγω (ἐρ)
e2 **ἀλλὰ**: *come…*; as often preceding an imperative
ὅπῃ δὴ: *in what way precisely…*
3 **οὐχ ἱκανῶς (φαίνεται εἰρῆσθαι)**: supply verbs from d9-10
3 **ταύτῃ...ᾗ δὴ**: *in this way…in which very way*; dat. of manner, demonstrative and relative pronouns
ἔμοιγε: supply ἱκανῶς φαίνεται εἰρῆσθαι
καὶ...καὶ: *both…and…*

λύρας τε καὶ χορδῶν τὸν αὐτὸν τοῦτον λόγον εἴποι, ὡς ἡ μὲν ἁρμονία ἀόρατον καὶ ἀσώματον καὶ πάγκαλόν τι καὶ
86 θεῖόν ἐστιν ἐν τῇ ἡρμοσμένῃ λύρᾳ, αὐτὴ δ' ἡ λύρα καὶ αἱ χορδαὶ σώματά τε καὶ σωματοειδῆ καὶ σύνθετα καὶ γεώδη ἐστὶ καὶ τοῦ θνητοῦ συγγενῆ. ἐπειδὰν οὖν ἢ κατάξῃ τις τὴν λύραν ἢ διατέμῃ καὶ διαρρήξῃ τὰς χορδάς, εἴ τις διισχυρίζοιτο τῷ αὐτῷ λόγῳ ὥσπερ σύ, ὡς ἀνάγκη ἔτι εἶναι τὴν ἁρμονίαν ἐκείνην καὶ μὴ ἀπολωλέναι—οὐδεμία γὰρ μηχανὴ ἂν εἴη τὴν μὲν λύραν ἔτι εἶναι διερρωγυιῶν τῶν χορδῶν καὶ τὰς χορδὰς θνητοειδεῖς οὔσας, τὴν δὲ ἁρμονίαν

ἀ-όρατος, -ον: unseen, invisible, 12
ἁρμόζω: harmonize, fit together, join, adapt 7
ἀ-σώματος, -ον: disembodied, incorporeal, 1
γεώδης, -ες: earth-like, earthy, 2
δια-ρρήγνυμι: break through, 2
δια-τέμνω: to cut through, cut apart, 1
δι-ισχυρίζομαι: affirm confidently; rely on, 5
θεῖος, -α, -ον: divine, sent by the gods, 15
θνητο-ειδής, -ές: of mortal nature or kind, 1
θνητός, -ή, -όν: mortal, liable to death, 7
κατ-άγνυμι: to shatter, break in pieces, 1
λύρα, ἡ: lyre, 11
μηχανή, ἡ: means, instrument, contrivance, 2
παγ-καλός, -η, -ον: very beautiful or noble, 1
συγ-γενής, -ές: related; *subst*. relative, 6
σύν-θετος, -ον: put together, composite, 4
σωματο-ειδής, -ές: corporeal, bodily, 5
χορδή, ἡ: string, gut-string, 7

4 **ἂν τις...εἴποι**: *one might say*; potential opt.
ὡς: *(namely) that...*; in apposition to λόγον
86a1 **ἡρμοσμένῃ**: *tuned*; pf. pass. ἁρμόζω
2 **σωματοειδῆ...γεώδη...συγγενῆ**: neuter pl.: σωματοειδέ-α, γεώδε-α, συγγενέ-α
3 **κατάξῃ, διατέμῃ, διαρρήξῃ**: 3s subj. in an indefinite temporal clause; aor. pres. and aor. subj. respectively
5 **τῷ...λόγῳ**: *with..*; dat. of means
ὡς: *that*...; governed by διισχυρίζοιτο
ἀνάγκη: *(it is) necessary*
6 **ἀπολωλέναι**: pf. act. inf. ἀπόλλυμι
οὐδεμία...ἀπολομένην: a very large parenthetical statement (lines a6-b2)
οὐδεμία...ἂν εἴη: *there would be no way that*...; potential opt. εἰμί
7 **εἶναι**: *exist*
διερρωγυιῶν: pf. pple διαρρήγνυμι
8 **οὔσας**: fem. acc. pl. pple εἰμί

ἀπολωλέναι τὴν τοῦ θείου τε καὶ ἀθανάτου ὁμοφυῆ τε καὶ b
συγγενῆ, προτέραν τοῦ θνητοῦ ἀπολομένην—ἀλλὰ φαίη
ἀνάγκη ἔτι που εἶναι αὐτὴν τὴν ἁρμονίαν, καὶ πρότερον τὰ
ξύλα καὶ τὰς χορδὰς κατασαπήσεσθαι πρίν τι ἐκείνην
παθεῖν—καὶ γὰρ οὖν, ὦ Σώκρατες, οἶμαι ἔγωγε καὶ αὐτόν 5
σε τοῦτο ἐντεθυμῆσθαι, ὅτι τοιοῦτόν τι μάλιστα ὑπολαμ-
βάνομεν τὴν ψυχὴν εἶναι, ὥσπερ ἐντεταμένου τοῦ σώματος
ἡμῶν καὶ συνεχομένου ὑπὸ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ
καὶ ὑγροῦ καὶ τοιούτων τινῶν, κρᾶσιν εἶναι καὶ ἁρμονίαν

ἐν-θυμέομαι: to take to heart, ponder, 2
ἐν-τείνω: to stretch, strain tight, 3
θεῖος, -α, -ον: divine, sent by the gods, 15
θερμός, -ή, -όν: hot, warm; subst. heat, 11
θνητός, -ή, -όν: mortal, liable to death, 7
κατα-σήπω: to make rotten, let rot, 2
κρᾶσις, -εως, ἡ: mixing, blending, 4
ξηρός, -ά, -όν: dry, 1
ξύλον, τό: wood, firewood, 6
ὁμο-φυής, -ές: of the same growth or nature, 1
συγ-γενής, -ές: related to, akin to (gen), 6
συν-έχω: to hold together, 4
ὑγρός, -ά, -όν: moist, wet, 4
ὑπο-λαμβάνω: to suppose; take up, reply, 8
χορδή, ἡ: string, gut-string, 7
ψυχρός, -ά, -όν: cold, chill, frigid, 10

b1 **ἀπολωλέναι**: pf. act. inf. ἀπόλλυμι
τὴν: τὴν ἁρμονίαν
ὁμοφυῆ, συγγενῆ: acc. sg. ὁμοφυέ-α, συγγενέ-α modifying ἁρμονίαν
2 **πρότεραν τοῦ θνητοῦ ἀπολομένην**: *perishing earlier than (the harmony akin) to the mortal human*; supply missing words from the context above
ἀλλὰ φαίη: *but one would claim*; resuming the condition in 86a4-5; 1s opt. equivalent to an apodosis in a fut. less vivid
3 **ἀνάγκη**: *that (it is) necessary*
πρότερον: *previously*; adverbial acc.
4 **κατασαπήσεσθαι**: fut. mid., the preceding accusatives are the subject
ἐκείνην: *that one…*; i.e. τὴν ἁρμονίαν
5 **πᾶθειν**: inf. πάσχω
καὶ γὰρ οὖν: *and in fact*
καὶ (σε)αὐτόν σε: *that you yourself also*
6 **ἐντεθυμῆσθαι**: pf. inf. ἐν-θυμέομαι
τοιοῦτόν τι: *that…some such thing*; acc. predicate of εἶναι
7 **ἐντεταμένου...σώματος καὶ συνεχομένου**: gen. abs., pf. pass. pple. ἐντείνω and pres. pass. pple συνέχω
8 **ὑπὸ...**: *because of…*; gen. of cause
9 **κρᾶσιν εἶναι**: *(and) that…*; τὴν ψυχὴν is acc. subject

c *αὐτῶν τούτων τὴν ψυχὴν ἡμῶν, ἐπειδὰν ταῦτα καλῶς καὶ μετρίως κραθῇ πρὸς ἄλληλα—εἰ οὖν τυγχάνει ἡ ψυχὴ οὖσα ἁρμονία τις, δῆλον ὅτι, ὅταν χαλασθῇ τὸ σῶμα ἡμῶν ἀμέτρως ἢ ἐπιταθῇ ὑπὸ νόσων καὶ ἄλλων κακῶν, τὴν μὲν*
5 *ψυχὴν ἀνάγκη εὐθὺς ὑπάρχει ἀπολωλέναι, καίπερ οὖσαν θειοτάτην, ὥσπερ καὶ αἱ ἄλλαι ἁρμονίαι αἵ τ᾽ ἐν τοῖς φθόγγοις καὶ ἐν τοῖς τῶν δημιουργῶν ἔργοις πᾶσι, τὰ δὲ λείψανα τοῦ σώματος ἑκάστου πολὺν χρόνον παραμένειν,*
d *ἕως ἂν ἢ κατακαυθῇ ἢ κατασαπῇ—ὅρα οὖν πρὸς τοῦτον τὸν λόγον τί φήσομεν, ἐάν τις ἀξιοῖ κρᾶσιν οὖσαν τὴν ψυχὴν τῶν ἐν τῷ σώματι ἐν τῷ καλουμένῳ θανάτῳ πρώτην ἀπόλ-λυσθαι.*

ἀ-μέτρως: immoderately, without measure, 1
ἀξιόω: to think worthy, deem right, 3
δῆλος, -η, -ον: clear, evident, conspicuous, 14
δημιουργός, ὁ: skilled workman, craftsman 1
ἐπι-τείνω: to overstretch, stretch over, 3
ἔργον, τό: work, labor, deed, act, 5
εὐθύς: right away, straight, directly, at once, 9
ἕως: until, as long as, 15
θεῖος, -α, -ον: divine, sent by the gods, 15
καίπερ: although, albeit, 1
καλῶς: well; beautifully, 11
κατα-καίω: to burn down, burn completely, 1
κατα-σήπω: to make rotten, let rot, 2
κεράννυμι: to mix, mingle, 1
κρᾶσις, -εως, ἡ: mixing, blending, 4
λείψανον, τό: remains, remnant, 1
μέτριος, -α, -ον: moderate, in due measure, 7
νόσος, ὁ: illness, sickness, 5
παρα-μένω: to abide, remain, 2
ὑπ-άρχω: to be there, be ready, be available 4
φθόγγος, ὁ: voice, utterance, sound 2
χαλάω: to slacken, loosen, release, 3

c1 **καλῶς**: *well*
2 **μετρίως**: *in due proportion, in due measure*
κραθῇ: 3s aor. subj. κεράννυμι
τυγχάνει...οὖσα: pple εἰμί, see p. 20
3 **δῆλον ὅτι**: *it is clear that…*
χαλασθῇ: 3s aor. subj. χαλάω in an indefinite temporal clause
4 **ἐπιταθῇ**: *is overstrained*; 3rd sg. aor. subj. ἐπιτείνω
ὑπὸ..: *because of…*; gen. of cause
5 **ἀνάγκη...ὑπάρχει**: *(it is) necessary*
ἀπολωλέναι: pf. act. inf. ἀπόλλυμι
καὶπερ: *although*…; introducing, as often, a pple
6 **θειοτάτην**: superlative, predicate of οὖσαν
8 **πολὺν χρόνον**: *for…*; acc. of duration
d1 **ἢ...ἢ...**: *either…or*
κατακαυθῇ, κατασαπῇ: 3s aor. pass. subjunctive in an indefinite temporal clause κατακαίω, κατασήπω
ὅρα..τί: *see what we will say*; i.e. consider.., ὅρα-ε, imperative sg. ὁράω
ὅρα..τί φήσομεν: *see what…*; i.e. consider.., ὅρα-ε, imperative sg. and fut. φημί
πρὸς: *in response to…, in reply to…*
2 **ἀξιοῖ**: 3s pres. subj. ο-contract verb as apodosis of a fut. more vivid condition (εἰ ἄν + subj., fut. ind.)
τὴν ψυχὴν...ἀπόλλυσθαι: *that…*; ind. disc. governed by ἀξιοῖ; κρᾶσιν οὖσαν is a participial phrase modifying ψυχὴν
3 **καλουμένῳ**: *so-named, so-called*; i.e. what is called death

διαβλέψας οὖν ὁ Σωκράτης, ὥσπερ τὰ πολλὰ εἰώθει, καὶ μειδιάσας, δίκαια μέντοι, ἔφη, λέγει ὁ Σιμμίας. εἰ οὖν τις ὑμῶν εὐπορώτερος ἐμοῦ, τί οὐκ ἀπεκρίνατο; καὶ γὰρ οὐ φαύλως ἔοικεν ἁπτομένῳ τοῦ λόγου. δοκεῖ μέντοι μοι χρῆναι πρὸ τῆς ἀποκρίσεως ἔτι πρότερον Κέβητος ἀκοῦσαι τί αὖ ὅδε ἐγκαλεῖ τῷ λόγῳ, ἵνα χρόνου ἐγγενομένου βουλευσώμεθα τί ἐροῦμεν, ἔπειτα [δὲ] ἀκούσαντας ἢ συγχωρεῖν αὐτοῖς ἐάν τι δοκῶσι προσᾴδειν, ἐὰν δὲ μή, οὕτως ἤδη ὑπερδικεῖν τοῦ λόγου. ἀλλ᾽ ἄγε, ἦ δ᾽ ὅς, ὦ Κέβης, λέγε, τί ἦν τὸ σὲ αὖ θρᾶττον [ἀπιστίαν παρέχει.]

λέγω δή, ἦ δ᾽ ὃς ὁ Κέβης. ἐμοὶ γὰρ φαίνεται ἔτι ἐν τῷ αὐτῷ ὁ λόγος εἶναι, καί, ὅπερ ἐν τοῖς πρόσθεν ἐλέγομεν,

---

ἄγω: to lead, to bring, to carry, to convey, 12
ἀ-πιστία, ἡ: disbelief, distrust, doubt, 6
ἀπο-κρίνομαι: to answer, reply, 13
ἀπο-κρισις, ἡ: reply, answer, 4
ἅπτω: fasten, grasp (gen); kindle, set fire; 11
βουλεύω: to deliberate, plan, take counsel, 1
δια-βλέπω: to look straight at, stare 1
δίκαιος, -α, -ον: just, right(eous), fair, 13
ἐγ-γίγνομαι: to be inborn, innate, happen, come in; *impers*. to be possible, 6
ἐγ-καλέω: to make a charge against (dat.), 1
εἴωθα: to be accustomed, 12
εὖ-πορος, -ον: resourceful, easily done, 1
ἤδη: already, now, at this time, 16
θράττω (τ(α)ράττω): to trouble, disquiet, 1
ἵνα: in order that (+ subj.); where (+ ind.), 7
μειδιάω: to smile, 2
παρ-έχω: to provide, furnish, supply, 16
πρό: before, in front; in place of (+ gen.), 13
προσ-ᾴδω: to sing in tune to, harmonize, 1
πρόσθεν: before, 10
συγ-χωρέω: agree, yield, come together, 13
ὑπερ-δικέω: to plead for, advocate for (gen), 1
φαῦλος –η -ον: slight, paltry, cheap, trifling 9

5 **διαβλέψας**: i.e. looking at Simmias and Cebes with a piercing glance
τὰ πολλὰ: *many times*; 'often,' adv. acc.
6 **δίκαια μέντοι**: *fair words to be sure*; neuter pl. object of λέγει, μέντοι gives assent
7 **εὐπορώτερος (ἐστίν)**: comparative predicate, add a linking verb
ἐμοῦ: gen. of comparison
τί οὐκ ἀπεκρίνατο: *why does he not reply (to Simmias)*; an aor. with pres. sense is usually found after τί οὐ to express surprise that something has not been done (S 1936)
καὶ γὰρ: *for in fact*
8 **ἔοικεν**: *he seems like*; + dat.
ἁπτομένῳ: *(to one) getting a grip on*; + partitive gen.
μέντοι: *however*; adversative
9 **χρῆναι**: inf. χρή
πρὸ: *before…*
Κέβητος: *from Cebes*; the gen. of source is common with the verb ἀκούω
e1 **ὅδε**: *this here one*; i.e. Cebes
ἵνα...βουλευσώμεθα: *so that we may…*; purpose clause, aor. subj.
χρόνου ἐγγενομένου: gen. abs.
2 **ἐροῦμεν**: 1p fut. of λέγω
3 **αὐτοῖς**: *with them*; dat. of compound verb
4 **ἄγε**: *come now*; an imperative which often introduces a second imperative
5 **τὸ...θρᾶττον**: *the thing troubling…*; neuter sg. pple
6 **ἐν τῷ αὐτῷ**: *in the same (place)*
7 **ἐν τοῖς πρόσθεν**: *in the (discussion) before*

87 *ταὐτὸν ἔγκλημα ἔχειν. ὅτι μὲν γὰρ ἦν ἡμῶν ἡ ψυχὴ καὶ πρὶν εἰς τόδε τὸ εἶδος ἐλθεῖν, οὐκ ἀνατίθεμαι μὴ οὐχὶ πάνυ χαριέντως καί, εἰ μὴ ἐπαχθές ἐστιν εἰπεῖν, πάνυ ἱκανῶς ἀποδεδεῖχθαι· ὡς δὲ καὶ ἀποθανόντων ἡμῶν ἔτι που ἔστιν, οὗ μοι δοκεῖ τῇδε. ὡς μὲν οὐκ ἰσχυρότερον καὶ πολυχρονιώτερον ψυχὴ σώματος, οὐ συγχωρῶ τῇ Σιμμίου ἀντιλήψει· δοκεῖ γάρ μοι πᾶσι τούτοις πάνυ πολὺ διαφέρειν. τί οὖν, ἂν φαίη ὁ λόγος, ἔτι ἀπιστεῖς, ἐπειδὴ ὁρᾷς ἀποθανόντος τοῦ ἀνθρώπου τό γε ἀσθενέστερον ἔτι ὄν; τὸ δὲ πολυχρονιώτερον οὐ δοκεῖ σοι ἀναγκαῖον εἶναι ἔτι σῴζεσθαι ἐν τούτῳ τῷ χρόνῳ; πρὸς δὴ τοῦτο τόδε ἐπίσκεψαι, εἴ τι λέγω·*

ἀνα-τίθημι: take back; set up, dedicate, 1
ἀντί-λήψις, -εως, ἡ: objection, counter, 1
ἀ-πιστέω: to distrust, not believe (+ dat.), 8
ἀπο-δείκνυμι: to demonstrate, prove 11
ἀ-σθενής, -ές: without strength, weak, feeble 3
δια-φέρω: to carry over; differ, surpass, 8
ἔγκλημα, -ατος, το: charge, objection, 1
εἶδος, -εος, τό: form, shape, figure, 17
ἐπ-αχθής -ές: burdensome, ponderous, heavy1
ἐπι-σκέπτομαι: to examine, inspect, 2
ἰσχυρός, -ά, -όν: strong, powerful; severe, 5
πολυ-χρόνιος, -α, -ον: long-existing, 6
συγ-χωρέω: agree, yield, come together, 13
σῴζω: to save, keep, preserve, 4
τῇδε: here; in this way, thus, 8
χαριέντως: gracefully, elegantly, 2

87a1 **ταὐτὸν**: *the same*; τὸ αὐτὸν
ὅτι...ἦν: *that…existed*; impf. εἰμί
καὶ πρὶν: *even before…*; + aor. inf. ἔρχομαι
2 **ἀνατίθεμαι**: i.e. I do not reject
3 **μή οὐχὶ**: *that*…; 'lest…,' οὐ μή + inf. may follow a negatived verb expressing denial or prohibition (S 2745)
4 **ἀποδεδεῖχθαι**: pf. pass. inf.
ὡς δὲ...: *but that…*; supply ἡ ψυχὴ as subject of ἔστιν
ἀποθανόντων ἡμῶν: gen. abs., aor. pple ἀποθνῄσκω
5 **τῇδε**: *in the following way*; 'in this here way', dat. of manner
ὡς μὲν...: *that…*
6 **ψυχὴ**: supply linking ἐστίν
σώματος: *than…*; gen. of comparison
7 **πᾶσι τούτοις**: *in all things*; dat. of respect
πολὺ: *far*; or 'much' adverbial acc. (acc. of extent by degree)
διαφέρειν: *that (the soul) surpasses*; i.e. is superior
τί: *why….?*
8 **ἂν φαίη ὁ λόγος**: *(as) the argument might say*; parenthetical, potential opt. φημί
ἀποθανόντος τοῦ ἀνθρώπου: gen. abs.
9 **τό γε ἀσθενέστερον**: *the weaker part in fact…*; i.e. the body
τὸ δὲ πολυχρονιώτερον: *but…that the more long-lived part…*; i.e. the soul
b2 **ἐπίσκεψαι**: aor. imperative
τι λέγω: *I am saying anything (important)*; i.e. not speaking nonsense

εἰκόνος γάρ τινος, ὡς ἔοικεν, κἀγὼ ὥσπερ Σιμμίας δέομαι. ἐμοὶ γὰρ δοκεῖ ὁμοίως λέγεσθαι ταῦτα ὥσπερ ἄν τις περὶ ἀνθρώπου ὑφάντου πρεσβύτου ἀποθανόντος λέγοι τοῦτον τὸν λόγον, ὅτι οὐκ ἀπόλωλεν ὁ ἄνθρωπος ἀλλ᾽ ἔστι που σῶς, τεκμήριον δὲ παρέχοιτο θοἰμάτιον ὃ ἠμπείχετο αὐτὸς ὑφηνάμενος ὅτι ἐστὶ σῶν καὶ οὐκ ἀπόλωλεν, καὶ εἴ τις ἀπιστοίη αὐτῷ, ἀνερωτῴη πότερον πολυχρονιώτερόν ἐστι τὸ γένος ἀνθρώπου ἢ ἱματίου ἐν χρείᾳ τε ὄντος καὶ φορουμένου, ἀποκριναμένου δή [τινος] ὅτι πολὺ τὸ τοῦ ἀνθρώπου, οἴοιτο ἀποδεδεῖχθαι ὅτι παντὸς ἄρα μᾶλλον ὅ γε ἄνθρωπος σῶς ἐστιν, ἐπειδὴ τό γε ὀλιγοχρονιώτερον οὐκ ἀπόλωλεν. τὸ δ᾽ οἶμαι, ὦ Σιμμία, οὐχ οὕτως ἔχει· σκόπει γὰρ καὶ σὺ

ἀμπ-έχω: to wrap around, to surround, 1
ἀν-ερωτάω: to ask about, inquire into, 1
ἀ-πιστέω: to distrust, not believe (+ dat.), 8
ἀπο-δείκνυμι: demonstrate, prove 11
ἀπο-κρίνομαι: to answer, reply, 13
γένος, -εος, τό: lineage, family, stock; race, 7
δέομαι: lack, need, want; ask for (+ gen.) 7
εἰκών, -όνος, ἡ: a likeness, image; statue, 3
ἱμάτιον, τό: a cloak or mantle, 7
ὀλιγο-χρόνιος, -ον: lasting a short time, 2
παρ-έχω: to provide, furnish, supply, 16
πολυ-χρόνιος, -α, -ον: long-existing, 6
πότερος, -α, -ον: (untranslated), whether, 19
πρεσβύτης, ὁ: old man, 1
σῶς, ὁ, ἡ: safe and sound, safe, sound, 6
τεκμήριον, τό: sign, indication, proof, 5
ὑφαίνω: to weave, 2
ὑφάντης, -ου, ὁ: weaver, 2
φορέω: bear, carry, 1
χρεία, ἡ: use, advantage, service; need, want 2

3 **εἰκόνος τινος**: *a certain imagery*; separation
κἀγὼ: *I too*; καὶ ἐγὼ
4 **ἄν τις...λέγοι**: *one might say…*
ἀποθανόντος: aor. pple ἀποθνῄσκω
6 **ὅτι**: *(namely) that…*
ἀπόλωλεν: *did perish*; aor. ἀπόλλυμι
7 **τεκμήριον**: *as evidence*
(ἂν) παρέχοιτο: *he might…*; supply ἄν, potential opt. parallel to ἄν λέγοι above
θοἰμάτιον: τὸ ἱμάτιον
ἠμπείχετο: impf. mid. ἀμπ-έχω
αὐτὸς: *(the weaver) himself*
8 **ὑφηνάμενος**: aor. mid. pple
ὅτι: *that…*; following τεκμήριον
ἐστὶ σῶν: *that (the cloak) is*; proleptic use of ἱμάτιον; note that σῶν is neut. predicate modifying ἱμάτιον
ἀπόλωλεν: aor. ἀπόλλυμι
c1 **ἀπιστοίη**: *should…*; 3s opt. ἀπιστέω in a fut. less vivid condition
(ἂν) ἀνερωτῴη: *one could…*; ἀνερωταοίη (~ἀνερωταοι) 3s pres. opt. α-contract verb parallel to ἂν λέγοι in b4-5
πότερον...τὸ γένος ἀνθρώπου ἢ (τὸ γένος) ἱματίου: *which one…the class of a human being or the class of a cloak*
3 **ἀποκριναμένου δή [τινος]**: *with (one) then responding*; gen. abs.
πολὺ (πολυχρονιώτερον) τὸ (γένος) τοῦ ἄνθρωου: *far (more long-lived) is that of a human being*; adv. acc. (acc. of extent of degree); add words missing by ellipsis
4 **οἴοιτο**: *he would think*; parallel to ἂν λέγοι
ἀποδεδεῖχθαι: *that it…*; pf. pass. inf.
ὅτι: *that…*
παντὸς...μᾶλλον: *more than everything*
ὅ γε ἄνθρωπος: *the man at least*
5 **τό γε ὀλιγοχρονιώτερον**: i.e. the cloak
6 **τὸ δ᾽...ἔχει**: *but this is not so*; see p. 7
σκόπει: *consider…*; σκοπέ-ε, sg. imperative

ἃ λέγω. πᾶς [γὰρ] ἂν ὑπολάβοι ὅτι εὔηθες λέγει ὁ τοῦτο λέγων· ὁ γὰρ ὑφάντης οὗτος πολλὰ κατατρίψας τοιαῦτα ἱμάτια καὶ ὑφηνάμενος ἐκείνων μὲν ὕστερος ἀπόλωλεν πολ-
d λῶν ὄντων, τοῦ δὲ τελευταίου οἶμαι πρότερος, καὶ οὐδέν τι μᾶλλον τούτου ἕνεκα ἄνθρωπός ἐστιν ἱματίου φαυλότερον οὐδ' ἀσθενέστερον. τὴν αὐτὴν δὲ ταύτην οἶμαι εἰκόνα δέξαιτ' ἂν ψυχὴ πρὸς σῶμα, καί τις λέγων αὐτὰ ταῦτα περὶ
5 αὐτῶν μέτριʼ ἄν μοι φαίνοιτο λέγειν, ὡς ἡ μὲν ψυχὴ πολυχρόνιόν ἐστι, τὸ δὲ σῶμα ἀσθενέστερον καὶ ὀλιγοχρονιώτερον· ἀλλὰ γὰρ ἂν φαίη ἑκάστην τῶν ψυχῶν πολλὰ σώματα κατατρίβειν, ἄλλως τε κἂν πολλὰ ἔτη βιῷ—εἰ γὰρ ῥέοι τὸ σῶμα καὶ ἀπολλύοιτο ἔτι ζῶντος τοῦ ἀνθρώπου,

---

ἄλλως: otherwise, in another way, 14
ἀ-σθενής, -ές: without strength, weak, feeble 3
βιόω: to live, 4
εἰκών, -όνος, ἡ: a likeness, image; statue, 3
ἕνεκα: for (the sake of), because of, (gen.) 13
ἔτος, -εως, τό: a year, 2
εὐ-ήθης, -ες: foolish, simple-natured, silly, 3
ἱμάτιον, τό: a cloak or mantle, 7
κατα-τρίβω: wear out, rub down, 4
μέτριος, -α, -ον: moderate, in due measure, 7
ὀλιγο-χρόνιος, -ον: lasting a short time, 2
πολυ-χρόνιος, -α, -ον: long-existing, 6
ῥέω: to flow, be in flux, run, stream, 10
τελευταῖος, -α, -ον: last, final, 5
ὑπο-λαμβάνω: to take up, reply; suppose, 8
ὕστερος, -α, -ον: later, last; *adv*. later 17
ὑφαίνω: to weave, 2
ὑφάντης, -ου, ὁ: weaver, 2
φαῦλος –η -ον: slight, paltry, cheap, trifling 9

7 **πᾶς**: *everyone*; i.e. anyone
ἂν ὑπολάβοι: potential opt.
εὔηθες: *a foolish thing*; neuter acc. sg.
8 **πολλὰ...τοιαῦτα ἱμάτια**: *many such cloaks*
ἐκείνων: *than…*; gen. of comparison
ἀπόλωλεν: *perished*; aor. ἀπόλλυμι
πολλῶν ὄντων: *although…*; participial phrase is concessive
d1 **τοῦ τελευταίου (ἱματίου)**: *than the last (cloak)…*; gen. of comparison
οἶμαι: parenthetical, οἴομαι
οὐδέν τι μᾶλλον: *not at all more*; modifies the comparative adj. that follows; οὐδέν τι is acc. of extent by degree
2 **ἱματίου**: *than…*; gen. of comparison
3 **τὴν αὐτὴν...εἰκόνα**: *the same imagery*
4 **δέξαιτο...σῶμα**: *the soul in relation to the body would accept*; potential aor. opt
4 **αὐτὰ ταῦτα**: *these very things*; intensive
5 **ὡς...**: *(namely) that…*
7 **ἀλλὰ γὰρ**: *but in fact*; 'and yet,' introduces an objection (S 2819, GP 105)
ἂν φαίη: 3s potential opt.
8 **ἄλλως τε κ(αὶ) ἄν...**: *especially…*; 'both otherwise and' a common idiom
ἂν...βιῷ: *one might live*; 3^{r3s}potential pres. opt. ο-contract verb,
πολλὰ ἔτη: *for…*; ἔτε-α, acc. of duration
9 **ῥέοι...ἀπολλύοιτο**: *is in flux…*; indicatives assimilated into opt. by preceding optatives
ἔτι: belongs with the following gen. abs

ἀλλ᾽ ἡ ψυχὴ ἀεὶ τὸ κατατριβόμενον ἀνυφαίνοι—ἀναγκαῖον e
μεντᾶν εἴη, ὁπότε ἀπολλύοιτο ἡ ψυχή, τὸ τελευταῖον ὕφασμα
τυχεῖν αὐτὴν ἔχουσαν καὶ τούτου μόνου προτέραν ἀπόλ-
λυσθαι, ἀπολομένης δὲ τῆς ψυχῆς τότ᾽ ἤδη τὴν φύσιν τῆς
ἀσθενείας ἐπιδεικνύοι τὸ σῶμα καὶ ταχὺ σαπὲν διοίχοιτο. 5
ὥστε τούτῳ τῷ λόγῳ οὔπω ἄξιον πιστεύσαντα θαρρεῖν ὡς
ἐπειδὰν ἀποθάνωμεν ἔτι που ἡμῶν ἡ ψυχὴ ἔστιν. εἰ γάρ 88
τις καὶ πλέον ἔτι τῷ λέγοντι ἢ ἃ σὺ λέγεις συγχωρήσειεν,
δοὺς αὐτῷ μὴ μόνον ἐν τῷ πρὶν καὶ γενέσθαι ἡμᾶς χρόνῳ
εἶναι ἡμῶν τὰς ψυχάς, ἀλλὰ μηδὲν κωλύειν καὶ ἐπειδὰν
ἀποθάνωμεν ἐνίων ἔτι εἶναι καὶ ἔσεσθαι καὶ πολλάκις γενή- 5
σεσθαι καὶ ἀποθανεῖσθαι αὖθις—οὕτω γὰρ αὐτὸ φύσει

ἀν-υφαίνω: to weave anew, weave again, 1
ἄξιος, -α, -ον: worthy of, deserving of, 15
ἀ-σθένεια, ἡ: weakness, feebleness, 4
αὖθις: back again, later, 9
δίδωμι: to give, offer, grant, provide, 15
δι-οίχομαι: be clean gone, be quite gone, 1
ἔνιοι, -αι, -α: some, 7
ἐπι-δείκνυμι: to indicate, point out, prove, 5
ἤδη: already, now, at this time, 16
θαρρέω: be confident or bold, take courage, 9
κατα-τρίβω: wear out, rub down, 4
κωλύω: to hinder or prevent, 5
ὁπότε: when, by what time, 6
οὔ-πω: not yet, 3
πιστεύω: to trust, believe in, rely on, 5
πλέων, -ον: more, greater, 17
πολλάκις: many times, often, frequently, 14
σάπω (σήπω): make rotten; corrupt, waste, 2
συγ-χωρέω: agree, yield, come together, 13
ταχύς, εῖα, ύ: quick, swift, hastily, 9
τελευταῖος, -α, -ον: last, final, 5
ὕφασμα, -ατος, τό: woven web, woven robe 1
φύσις, -εως, ἡ: nature, character; form, 11

e1 **ἀλλὰ**: *yet*; or 'rather' introducing the apodosis
ἀνυφαίνοι... ἀπολλύοιτο: indicatives made opt. by assimilation to preceding optatives
ἀναγκαῖον μεντ(οι) ἂν εἴη: *it would be…*; apodosis in the fut. less vivid condition
2 **τὸ τελευταῖον ὕφασμα**: acc. object
3 **τυχεῖν αὐτὴν ἔχουσαν**: *that it (the soul) happens to have…*; i.e. ψυχή, ind. disc. governed by ἀναγκαῖον ἂν εἴη
τούτου μόνου: *than…*; i.e. the body, gen. of comparison with προτέραν
4 **ἀπολομένης...ψυχῆς**: gen. abs. ἄνθρωπος
τὴν φύσιν...ἀσθενείας: i.e. natural weakness
5 **ἐπιδεικνύοι...διοίχοιτο**: indicatives made opt. by assimilation to preceding optatives
σαπὲν: neuter sg. aor. pass. pple σάπω modifying τὸ σῶμα
6 **τούτῳ τῷ λόγῳ**: dat. of pple πιστεύω
ἄξιον (ἐστίν): *it is not deserving (for us)*; + inf., impersonal constructon
ὡς: *that…*
88a2 **καὶ πλέον...συγχωρήσειεν**: *one were to yield even more…*; + dat. ind. object; opt.
3 **δοὺς**: *granting…*; 'allowing' nom. sg. aor. pple. δίδωμι
μὴ μόνον...ἀλλὰ: *not only…but*
πρὶν καὶ γενέσθαι ἡμᾶς: *before we were born also*; modifying ἐν τῷ χρόνῳ
4 **εἶναι**: *that…existed*; governed by δοὺς
μὴδεν κωλύειν: *that nothing prevents…*;
5 **ἐνίων**: *(that the souls) of some*;
ἔσεσθαι...ἀποθανεῖσθαι: fut. infs., εἰμί
6 **αὐτὸ φύσει**: *that it by nature…*; i.e. soul

ἰσχυρὸν εἶναι, ὥστε πολλάκις γιγνομένην ψυχὴν ἀντέχειν —δοὺς δὲ ταῦτα ἐκεῖνο μηκέτι συγχωροῖ, μὴ οὐ πονεῖν αὐτὴν ἐν ταῖς πολλαῖς γενέσεσιν καὶ τελευτῶσάν γε ἔν
10 *τινι τῶν θανάτων παντάπασιν ἀπόλλυσθαι, τοῦτον δὲ τὸν*
b *θάνατον καὶ ταύτην τὴν διάλυσιν τοῦ σώματος ἢ τῇ ψυχῇ φέρει ὄλεθρον μηδένα φαίη εἰδέναι—ἀδύνατον γὰρ εἶναι ὁτῳοῦν αἰσθέσθαι ἡμῶν—εἰ δὲ τοῦτο οὕτως ἔχει, οὐδενὶ προσήκει θάνατον θαρροῦντι μὴ οὐκ ἀνοήτως θαρρεῖν, ὃς ἂν*
5 *μὴ ἔχῃ ἀποδεῖξαι ὅτι ἔστι ψυχὴ παντάπασιν ἀθάνατόν τε καὶ ἀνώλεθρον· εἰ δὲ μή, ἀνάγκην εἶναι ἀεὶ τὸν μέλλοντα ἀποθανεῖσθαι δεδιέναι ὑπὲρ τῆς αὐτοῦ ψυχῆς μὴ ἐν τῇ νῦν τοῦ σώματος διαζεύξει παντάπασιν ἀπόληται.*

ἀ-δύνατος, -ον: unable, incapable, impossible, 6
αἰσθάνομαι: perceive, feel, learn, realize, 11
ἀ-νόητος, -ον: foolish, unintelligent, 5
ἀντ-έχω: to endure, hold out (against), 1
ἀν-ώλεθρος, -α, -ον: indestructible, 12
ἀπο-δείκνυμι: demonstrate, prove 11
γένεσις, -εως, ἡ: coming-to-be, birth, 16
δείδω: fear, dread, shrink from, feel awe, 11
δια-ζεύξις, -εως, ἡ: unyoking, separating, 1
διά-λυσις, ἡ: separating, breaking up, 1
δίδωμι: to give, offer, grant, provide, 15
θαρρέω: be confident, take courage; be bold 9
ἰσχυρός, -ά, -όν: strong, powerful; severe, 5
μέλλω: to be about to, intend to (fut. inf.) 19
μη-κέτι: no longer, no more, 1
ὄλεθρος, ὁ: death, ruin, destruction, 3
ὅστισ-οῦν, ἥτισουν, ὅτι-οῦν: whosoever, 11
παντά-πασι: all in all, absolutely 15
πονέω: to labor, work; suffer, 1
προσ-ήκει: it belongs to, it is fitting, befits 15
συγ-χωρέω: agree, yield, come together, 13

7 **ἰσχυρὸν...ὥστε**: *(so) strong that…*; result
πολλάκις γιγνομένην...ἀντέχειν: *endure being born many times*
8 **δοὺς δὲ ταῦτα**: *although granting…*; concessive in sense; aor. pple. δίδωμι
ἐκεῖνο...συγχωροῖ: *one might no longer concede that (point), namely that…*; the opt. is parallel to εἰ γὰρ...συγχωρήειεν above (88a1-2)
μή οὐχί: *that…*; 'lest' οὐ μή + inf. may follow a negatived verb expressing denial or prohibition (S 2745)
πονεῖν αὐτὴν: *that it suffer…*; 'it labor…'
9 **τελευτῶσαν γε**: *finally*; pple as adverb
10 **ἔν τινι...θανάτων**: *in one of its deaths*
τοῦτον δὲ...φαίη εἰδέναι: *but one might say that no one knows this death and this separation from the body which brings destruction to the soul*
b3 **ὁτῳοῦν**: *for anyone whomsoever of us*; dat. of interest
αἰσθέσθαι: aor. inf. αἰσθάνομαι
εἰ...ἔχει: *if…is*; ; + adv., see p. 7; this conditional clause marks an end to the conditional clause started in a1
οὐδενὶ προσήκει...θαρρεῖν: *it is fitting for anyone being confident about death that he is foolishly confident*; the negations are best expressed positively
5 **ὃς...μὴ ἔχῃ**: *whoever is not able…*; οὐδενὶ is the antecedent, 3s subj. in an indefinite relative clause
7 **δεδιέναι**: pf. inf. δείδω
μὴ...ἀπόληται: *that…perish*; fearing clause

πάντες οὖν ἀκούσαντες εἰπόντων αὐτῶν ἀηδῶς διετέθημεν, ὡς ὕστερον ἐλέγομεν πρὸς ἀλλήλους, ὅτι ὑπὸ τοῦ ἔμπροσθεν λόγου σφόδρα πεπεισμένους ἡμᾶς πάλιν ἐδόκουν ἀναταράξαι καὶ εἰς ἀπιστίαν καταβαλεῖν οὐ μόνον τοῖς προειρημένοις λόγοις, ἀλλὰ καὶ εἰς τὰ ὕστερον μέλλοντα c
5
ῥηθήσεσθαι, μὴ οὐδενὸς ἄξιοι εἶμεν κριταὶ ἢ καὶ τὰ πράγματα αὐτὰ ἄπιστα ᾖ.

ΕΧ. *νὴ τοὺς θεούς, ὦ Φαίδων, συγγνώμην γε ἔχω ὑμῖν. καὶ γὰρ αὐτόν με νῦν ἀκούσαντά σου τοιοῦτόν τι λέγειν πρὸς ἐμαυτὸν ἐπέρχεται· 'τίνι οὖν ἔτι πιστεύσομεν λόγῳ;* d *ὡς γὰρ σφόδρα πιθανὸς ὢν, ὃν ὁ Σωκράτης ἔλεγε λόγον, νῦν εἰς ἀπιστίαν καταπέπτωκεν.' θαυμαστῶς γάρ μου ὁ*

ἀ-ηδής, -ές: unpleasant, disagreeable
ἀ-πιστία, ἡ: disbelief, distrust, doubt, 6
ἄ-πιστος, -ον:, ὁ: not trustworthy, distrustful 2
ἀνα-ταράττω: to trouble, stir up again, 1
ἄξιος -α -ον: worthy of, deserving of (gen) 15
δια-τίθημι: arrange, dispose, 1
ἔμ-προσθεν: before, former; earlier, 7
ἐπ-έρχομαι: to come upon, approach, 8
θαυμαστός, -ή, -όν: wonderful, marvelous, 11
κατα-βάλλω: to strike down, cast down, 1
κατα-πίπτω: fall down, drop, 1
κριτής, ὁ: a judge, decider, 1
μέλλω: to be about to, intend to (fut. inf.) 19
νή: by…(+ acc, invoking a god), 14
πιθανός, -ή, -όν: persuasive, plausible, 3
πιστεύω: to trust, believe in, rely on (dat) 5
πρᾶγμα, -ατος τό: deed, act; matter, affair 18
προ-λέγω: to say or mention beforehand, 4
συγ-γνώμη, ἡ: forgiveness, sympathy, 1
σφόδρα: very much, exceedingly, 18
ὕστερος, -α, -ον: later, last; *adv*. later 17

c1 **πάντες...διετέθημεν**: *we all were disposed*; + adv.1p aor. pass. διατίθημι; Phaedo, as narrator of the dialogue, now refers to his own presence and reaction to the discussion
εἰπόντων αὐτῶν: *them…*; gen. of source, object of ἀκούσαντες, and not a gen. abs.
2 **ὅτι**: *because…*
ὑπὸ: *by…*; gen. of cause
3 **πεπεισμένους**: pf. pass. pple πείθω
ἐδόκουν: *they seemed…*; 3p, i.e. Socrates, Simmias, and Cebes, the main interlocutors
4 **ἀναταράξαι, καταβαλεῖν**: aor. inf.
οὐ μόνον...ἀλλὰ καὶ: *not only…but also*
τοῖς...λόγοις: dat. governed by ἀπιστίαν
5 **προειρημένοις**: pf. pass. pple προλέγω
εἰς τὰ...μέλλοντα: *to (things) about to…*; governed by καταβαλεῖν and parallel to εἰς ἀπιστίαν
6 **ῥηθήσεσθαι**: fut. pass. inf. λέγω (ἐρ)
μὴ...εἶμεν...ᾖ: *that we were…be…*; 'lest,' a fearing clause in secondary sequence with 1p. pres. opt. εἰμί and 3s. pres. subj. εἰμί; though opt. is more common, a subj. in secondary sequence presents a fear vividly (S 2226)
8 **νὴ τοὺς θεούς**: in exclamation
συγγνώμην γε ἔχω ὑμῖν: *I certainly have sympathy for you all*
9 **καὶ γὰρ**: *for in fact…*
αὐτόν με: *that I myself…*; subj. of λέγειν
σου: gen. of source, obj. of ἀκούσαντα
d1 **πρὸς ἐμαυτὸν ἐπέρχεται**: *it occurs to me that…*; impersonal, governs an acc. + inf.
τίνι...λόγῳ: *what account…*?
2 **ὡς...πιθανὸς ὢν**: *how exceedingly persuasive though it is, the account*; the pple εἰμί is concessive, supply ὁ λόγος
3 **καταπέπτωκεν**: pf. καταπίπτω

λόγος οὗτος ἀντιλαμβάνεται καὶ νῦν καὶ ἀεί, τὸ ἁρμονίαν τινὰ ἡμῶν εἶναι τὴν ψυχήν, καὶ ὥσπερ ὑπέμνησέν με ῥηθεὶς ὅτι καὶ αὐτῷ μοι ταῦτα προυδέδοκτο. καὶ πάνυ δέομαι πάλιν ὥσπερ ἐξ ἀρχῆς ἄλλου τινὸς λόγου ὅς με πείσει ὡς τοῦ ἀποθανόντος οὐ συναποθνήσκει ἡ ψυχή. λέγε οὖν πρὸς Διὸς πῇ ὁ Σωκράτης μετῆλθε τὸν λόγον; καὶ πότερον **e** κἀκεῖνος, ὥσπερ ὑμᾶς φῄς, ἔνδηλός τι ἐγένετο ἀχθόμενος ἢ οὔ, ἀλλὰ πράως ἐβοήθει τῷ λόγῳ; [ἢ] καὶ ἱκανῶς ἐβοήθησεν ἢ ἐνδεῶς; πάντα ἡμῖν δίελθε ὡς δύνασαι ἀκριβέστατα.

ΦΑΙΔ. καὶ μήν, ὦ Ἐχέκρατες, πολλάκις θαυμάσας Σωκράτη οὐ πώποτε μᾶλλον ἠγάσθην ἢ τότε παραγενόμενος. **89** τὸ μὲν οὖν ἔχειν ὅτι λέγοι ἐκεῖνος ἴσως οὐδὲν ἄτοπον· ἀλλὰ

ἄγαμαι: to admire, wonder, marvel at, 1
ἀκριβής, -ές: exact, accurate, precise, 5
ἀντι-λαμβάνω: take hold of, captivate +gen 1
ἀρχή, ἡ: a beginning; rule, office, 8
ἄ-τοπος, -ον: strange, odd, extraordinary, 9
ἄχθομαι: to be burdened, grieved, pained, 1
βοηθέω: to come to help, rescue, aid (dat) 2
δέομαι: lack, need, want; ask for (+ gen.) 7
δι-έρχομαι: to go or pass through, 5
δύναμαι: to be able, can, be capable, 15
ἐν-δεῶς: defectively, insufficiently, 3
ἔν-δηλός, -όν: visible, manifest, clear, 1
Ζεύς, ὁ: Zeus, 6
θαυμάζω: to wonder, marvel, be amazed at, 7
μετ-έρχομαι: to go after, pursue, 2
μήν: truly, surely, certainly, 22
παρα-γίγνομαι: to come near, be present, 11
πῇ: in what way, how, 5
πολλάκις: many times, often, frequently, 14
πρᾷος, -ον: mild, gentle, soft, 3
προ-δοκέω: seem good (beforehand), 1
πώ-ποτε: ever yet, ever, 6
συν-αποθνήσκω: to die together with, 1
ὑπο-μιμνήσκω: to remind, mention, 3

4 **ἀντιλαμβάνεται**: with partitive gen μου
καὶ...καὶ: *both…and*
τὸ...εἶναι: *namely that the soul…*; articular inf. is ind. discourse in apposition to λόγος
ὥσπερ: *as it were*
5 **ῥηθεὶς**: *the account spoken (by you)*; nom. sg. aor. pass. pple λέγω (ἐρ)
6 **καὶ...ταῦτα**: *these things too*; nom. subject
προυδέδοκτο: 3s plpf. mid.
7 **ἄλλου τινὸς λόγου**: gen. of separation, obj. of δέομαι
πείσει: fut. πείθω
8 **τοῦ ἀποθανόντος**: *of one…*; aor. pple ἀποθνήσκω
πρὸς Διὸς: *by Zeus!*; πρός + gen. is another common way of invoking the gods
9 **πότερον**: *whether…*
e1 **κα(ι ἐ)κεῖνος**: *that one also*; i.e. Socrates
ἔνδηλος: *clearly*; the adj. is often translated as an adv.
τι: *at all*; inner acc. with ἀχθόμενος
2 **ἀλλὰ**: *but instead, rather*
ἐβοήθησεν: aor. active βοηθέω
3 **δίελθε**: *go through*; i.e. relate, aor. sg. imperative διέρχομαι
ὡς...: *as…*; + 2s pres. δύναμαι
ἀκριβέστατα: superlative adv.
4 **καὶ μὴν**: *well certainly*; in acceptance of an invitation to speak (GP 356) but often used in tragedy to open a new scene or introduce a new character (S 2921)
5 **ἠγάσθην**: 1s aor. pass. dep. ἄγαμαι
μὲν οὖν: *certainly in fact*; in affirmation
τὸ...ἔχειν: *that (he) knew…*
ὅ τι λέγοι: *what he was to say*; deliberative
οὐδὲν ἄτοπον: *(it is) nothing strange that...*

ἔγωγε μάλιστα ἐθαύμασα αὐτοῦ πρῶτον μὲν τοῦτο, ὡς ἡδέως καὶ εὐμενῶς καὶ ἀγαμένως τῶν νεανίσκων τὸν λόγον ἀπεδέξατο, ἔπειτα ἡμῶν ὡς ὀξέως ᾔσθετο ὧ 'πεπόνθεμεν ὑπὸ τῶν λόγων, ἔπειτα ὡς εὖ ἡμᾶς ἰάσατο καὶ ὥσπερ πεφευγότας καὶ ἡττημένους ἀνεκαλέσατο καὶ προύτρεψεν πρὸς τὸ παρέπεσθαί τε καὶ συσκοπεῖν τὸν λόγον.

ΕΧ. *πῶς δή;*

ΦΑΙΔ. *ἐγὼ ἐρῶ. ἔτυχον γὰρ ἐν δεξιᾷ αὐτοῦ καθήμενος παρὰ τὴν κλίνην ἐπὶ χαμαιζήλου τινός, ὁ δὲ ἐπὶ πολὺ* **b** *ὑψηλοτέρου ἢ ἐγώ. καταψήσας οὖν μου τὴν κεφαλὴν καὶ συμπιέσας τὰς ἐπὶ τῷ αὐχένι τρίχας—εἰώθει γάρ, ὁπότε τύχοι, παίζειν μου εἰς τὰς τρίχας—Αὔριον δή, ἔφη, ἴσως, ὦ Φαίδων, τὰς καλὰς ταύτας κόμας ἀποκερῇ.*

ἀγαμένως: with respect, with admiration1
αἰσθάνομαι: perceive, feel, learn, realize, 11
ἀνα-καλέω: to call back, rally, call up, 1
ἀπο-δέχομαι: to accept, receive, 9
ἀπο-κείρω: clip, cut off, 1
αὔριον: tomorrow, 2
αὐχήν, -ένος, ὁ: the neck, throat, 1
δεξιός, -ά, -όν: on the right hand or side, 1
εἴωθα: to be accustomed, 12
εὐ-μενής, -ές: well-disposed, favorable, 1
ἡδέως: sweetly, pleasantly, gladly, 6
ἡττάομαι: to be defeated, be inferior, 1
θαυμάζω: to wonder, marvel, be amazed at, 7
θρίξ, τριχός ἡ: hair, 2
ἰάομαι: to heal, cure, 1
ἴσως: perhaps, probably; equally, likely, 19
κάθ-ημαι: to sit, 4
κατα-ψάω: stroke with the hand, caress, 1
κεφαλή, ἡ: the head, 6
κλίνη, ἡ: couch, 2
κόμη, ἡ: hair, 1
νεανίσκος, ὁ: youth, 1
ὀξύς, -εῖα, -υ: sharp, keen, bitter, 1
ὁπότε: when, by what time, 6
παίζω: to play, jest, 1
παρ-έπομαι: follow alongside, accompany, 1
προ-τρέπω: urge on or forward, turn to, 1
συμ-πιέζω: to press or grasp together, 1
συ-σκοπέω: to contemplate together, 1
ὑψηλος, -ή, -όν: high, lofty, 1
φεύγω: to flee, escape; defend in court, 10
χαμαί-ζηλος -ον: low seat, stool, 1

2 **αὐτοῦ...τοῦτο**: *this (aspect) of him*; partitive gen.
πρῶτον: adverbial acc.
ὡς: *how…*; modifies the next three adverbs
4 **ὡς**: *how*
ἡμῶν...ᾔσθετο ὃ (ἐ)πεπόνθεμεν...λόγων: *he sensed ~~as~~ what we had experienced by his words*; aor. mid. αἰσθάνομαι governs a partitive gen., which is here used proleptically as the acc. obj. and is more suitably the subject of the plpf. πάσχω
5 **ὡς εὖ**: *how well*
ὥσπερ: *(us) as if*
πεφευτόγας: pf. acc. pple, φεύγω
9 **ἐρῶ**: fut. λέγω
ἔτυχον: 1s aor. + pple, see p. 20
b1 **παρὰ**: *beside…*
ὁ δὲ: *and he*; i.e. Socrates
ἐπὶ πολὺ ὑψηλοτέρου: *on a much higher* (position); Socrates is on the couch
4 **ὁπότε**: *whenever he happened*; indefinite temporal clause with opt. in secondary seq.
5 **ἀποκερῇ**: 2s fut. mid. ἀποκείρω

ἔοικεν, ἦν δ᾽ ἐγώ, ὦ Σώκρατες.

οὔκ, ἄν γε ἐμοὶ πείθῃ.

ἀλλὰ τί; ἦν δ᾽ ἐγώ.

τήμερον, ἔφη, κἀγὼ τὰς ἐμὰς καὶ σὺ ταύτας, ἐάνπερ γε
10 *ἡμῖν ὁ λόγος τελευτήσῃ καὶ μὴ δυνώμεθα αὐτὸν ἀναβιώ-*
c *σασθαι. καὶ ἔγωγ᾽ ἄν, εἰ σὺ εἴην καί με διαφεύγοι ὁ λόγος, ἔνορκον ἂν ποιησαίμην ὥσπερ Ἀργεῖοι, μὴ πρότερον κομήσειν, πρὶν ἂν νικήσω ἀναμαχόμενος τὸν Σιμμίου τε καὶ Κέβητος λόγον.*

5 *ἀλλ᾽, ἦν δ᾽ ἐγώ, πρὸς δύο λέγεται οὐδ᾽ ὁ Ἡρακλῆς οἷός τε εἶναι.*

ἀλλὰ καὶ ἐμέ, ἔφη, τὸν Ἰόλεων παρακάλει, ἕως ἔτι φῶς ἐστιν.

ἀνα-βιώσκομαι: to bring back to life, 6
ἀνα-μάχομαι: to fight back against, 1
Ἀργεῖος, ὁ: Argive, citizen of Argos, 1
δια-φεύγω: to flee, get away from, escape, 2
δύναμαι: to be able, can, be capable, 15
ἐάν-περ: εἰ ἄν, if, if really (+ subj.), 3
ἐμός, -ή, -όν: my, mine, 7
ἔν-ορκος, -ον: under an oath, bound by oath 1
ἕως: until, as long as, 15
Ἡρακλέης, ὁ: Heracles, 3
Ἰόλεως, ὁ: Iolaus, 2
κομάω: wear long hair, plume oneself, 1
νικάω: to conquer, defeat, win, 1
παρα-καλέω: to summon, call to, 2
τήμερον: today, 2
φῶς (φάος), φάεος, τό: light, 1

6 **ἔοικεν**: *it's likely*
ἦν: 1s impf. ἠμί, see pg. 6
7 **ἄν**: *if…*; ἐὰν (ἐι ἄν)
πείθῃ: πείθε(σ)αι, 2s pres. mid.
8 **ἀλλὰ τί**: *well, what (then)*; GP 9
9 **κἀγὼ τὰς ἐμας (κόμας) καὶ σὺ ταύτας (κόμας)**: *I (will cut off)…and you (will cut off)…*; ellipsis, add verbs and obj. from b5
ἐάνπερ γε...: *if at any rate…*; + subj. (3s aor. τελευτάω and pres. δύναμαι) in a future more vivid condition
c1 **ἄν...ἂν ποιησαίμην**: the duplication of ἄν often emphasizing the intervening words
εἰ...εἴην..διαφεύγοι...ἂν ποιησαίμην: *if should…should, I would…*; a future less vivid condition (εἰ + opt., ἄν + opt.)
2 **ἔνορκον...ποιησαίμην**: *I would make an oath*; 'I would bring myself under an oath'
μὴ...κομήσειν: *not to.. …*; μή + inf. is often used in oaths (S 2716)
3 **ἂν νικήσω**: *I conquer*; ἄν + 1s aor. subj. in an indefinite temporal clause
5 **ἦν**: 1s impf. ἠμί, see pg. 6
πρὸς δύο: *against two*; i.e. two enemies
οὐδὲ ὁ Ἡρακλῆς: *not even Heracles*
οἷος τε εἶναι: *to be capable*; 'to be the sort'
7 **τὸ Ἰόλεων**: *as Iolaus*; assistant to Heracles, who helped Heracles cauterize the Hydra's necks as he fended off a large crab
παρακάλει: παρακαλε-ε; sg. imperative

παρακαλῶ τοίνυν, ἔφην, οὐχ ὡς Ἡρακλῆς, ἀλλ' ὡς Ἰόλεως τὸν Ἡρακλῆ.

οὐδὲν διοίσει, ἔφη. ἀλλὰ πρῶτον εὐλαβηθῶμέν τι πάθος μὴ πάθωμεν.

τὸ ποῖον; ἦν δ' ἐγώ.

μὴ γενώμεθα, ἦ δ' ὅς, μισόλογοι, ὥσπερ οἱ μισάνθρωποι γιγνόμενοι· ὡς οὐκ ἔστιν, ἔφη, ὅτι ἄν τις μεῖζον τούτου κακὸν πάθοι ἢ λόγους μισήσας. γίγνεται δὲ ἐκ τοῦ αὐτοῦ τρόπου μισολογία τε καὶ μισανθρωπία. ἥ τε γὰρ μισανθρωπία ἐνδύεται ἐκ τοῦ σφόδρα τινὶ πιστεῦσαι ἄνευ τέχνης, καὶ ἡγήσασθαι παντάπασί γε ἀληθῆ εἶναι καὶ ὑγιῆ καὶ πιστὸν τὸν ἄνθρωπον, ἔπειτα ὀλίγον ὕστερον εὑρεῖν τοῦτον πονηρόν τε καὶ ἄπιστον, καὶ αὖθις ἕτερον· καὶ ὅταν τοῦτο

ἄνευ: without, 9
ἄ-πιστος, -ον:, ὁ: not trustworthy, distrustful 2
αὖθις: back again, later, 9
δια-φέρω: to carry over; differ, surpass, 8
ἐν-δύομαι: to go into, enter, 2
εὐλαβέομαι: be cautious, be careful, beware, 5
εὑρίσκω: to find, discover, devise, invent, 8
Ἡρακλέης, ὁ: Heracles, 3
Ἰόλεως, ὁ: Iolaus, 2
μισ-ανθρωπία, ἡ: hatred of mankind, 2
μισ-άνθρωπος, -ον: hating mankind, 1
μισέω: to hate, 4
μισο-λογία, ἡ: hatred of argument, 1
μισό-λογος, -ον: hating argument, 1
ὀλίγος, -η, -ον: few, little, small, 15
πάθος -εος τό: experience incident passion 11
παντά-πασι: all in all, absolutely 15
παρα-καλέω: to summon, call to, 2
πιστεύω: to trust, believe in, rely on, 5
πιστός, -ή, -όν: trustworthy; credible 2
ποῖος, -α, -ον: what sort of? what kind of?, 9
πονηρός, -ά, -όν: bad, evil; painful, grievous 2
σφόδρα: very much, exceedingly, 18
τέχνη, ἡ: craft, art, 6
τρόπος, ὁ: a manner, way; turn, direction, 17
ὑγιής, -ές: sound, healthy, wholesome, 7
ὕστερος, -α, -ον: later, last; *adv*. later 17

9 τοίνυν: accepting an invitation (GP 571)
ἔφην: see p. 6
ὡς: *as*
ὡς Ἰόλεως (παρακαλεῖ) τὸν Ἡρακλῆ: *as*…; supply verb from above
11 οὐδὲν διοίσει: *it will make no difference*; inner acc., fut. διαφέρω
πρῶτον: adverbial acc.
3 εὐλαβηθῶμεν: *let us*…; hortatory subj. aor. pass. deponent
12 μὴ πάθωμεν τι πάθος: *that*…; 'lest' fearing clause: μή + aor. subj. πάσχω
13 τὸ ποῖον: *what?*; the article is not unusual
ἦν: *I said*; impf. ἠμί (see pg. 6)

d1 μὴ γενώμεθα: *lest*…; a fearing clause in response to μὴ πάθωμεν above
2 ὡς οὐκ ἔστιν...ὅτι: *since it is not possible that*…; impersonal ἔστι
ἄν...πάθοι: *could suffer*; potential aor. opt.
3 μισήσας: nom. sg. aor. pple μισέω
ἐκ τοῦ...τρόπου: *from the same manner*
5 ἐκ τοῦ...πιστεῦσαι: *from trusting*…;
τινὶ: *someone*; dat. object
ἡγήσασθαι: *that (you) think that*…
6 ὑγιέ-α: 3rd decl. acc. sg. with ἄνθρωπον
7 ὀλίγον: *a little*; adv. (acc. extent by degree)
εὑρεῖν: *to find (this one)*; with πιστεῦσαι
8 ἕτερον: i..e the same outcome with another

πολλάκις πάθῃ τις καὶ ὑπὸ τούτων μάλιστα οὓς ἂν ἡγήσαιτο
e οἰκειοτάτους τε καὶ ἑταιροτάτους, τελευτῶν δὴ θαμὰ προσ-
κρούων μισεῖ τε πάντας καὶ ἡγεῖται οὐδενὸς οὐδὲν ὑγιὲς
εἶναι τὸ παράπαν. ἦ οὐκ ᾔσθησαί σύ πω τοῦτο γιγνόμενον;

πάνυ γε, ἦν δ' ἐγώ.

5 οὐκοῦν, ἦ δ' ὅς, αἰσχρόν, καὶ δῆλον ὅτι ἄνευ τέχνης τῆς
b *ἀλλ', ἦ δ' ὅς, ὧδε λέγω, οὐδὲν καινόν, ἀλλ' ἅπερ ἀεί τε ἄλλοτε καὶ ἐν τῷ παρεληλυθότι λόγῳ οὐδὲν πέπαυμαι λέγων. ἔρχομαι [γὰρ] δὴ ἐπιχειρῶν σοι ἐπιδείξασθαι τῆς αἰτίας τὸ εἶδος ὃ πεπραγμάτευμαι, καὶ εἶμι πάλιν ἐπ' ἐκεῖνα*
5 *τὰ πολυθρύλητα καὶ ἄρχομαι ἀπ' ἐκείνων, ὑποθέμενος εἶναί τι καλὸν αὐτὸ καθ' αὑτὸ καὶ ἀγαθὸν καὶ μέγα καὶ τἆλλα πάντα· ἃ εἴ μοι δίδως τε καὶ συγχωρεῖς εἶναι ταῦτα, ἐλπίζω σοι ἐκ τούτων τὴν αἰτίαν ἐπιδείξειν καὶ ἀνευρήσειν ὡς ἀθάνατον [ἡ] ψυχή.*

ἄλλ-οτε: at another time, at other times, 4
ἀν-ευρίσκω: to find out, discover, 2
ἄρχω: to begin; to rule, be leader of, 12
δίδωμι: to give, offer, grant, provide, 15
εἶδος, -εος, τό: form, shape, figure, 17
ἐλπίζω: to hope, expect, 2
ἐπι-δείκνυμι: to indicate, point out, prove, 5
ἐπι-χειρέω: put one's hand on, attempt, try, 8
Ζεύς, ὁ: Zeus, 11
καινός, -ή, -όν: new, novel, strange, 2
μά: by…(in oaths and invocations), 3
μανθάνω: to learn, understand, 12
παρ-έρχομαι: to go pass, enter, 5
παύω: to stop, make cease, 6
πολυ-θρύλητος, -ον: much spoken of, well known, 1
πραγματεύομαι: busy oneself, take trouble, 2
σαφής, -ές: clear, distinct; certain, reliable, 16
συγ-χωρέω: agree, yield, come together, 13
σφόδρα: very much, exceedingly, 18
ὑπο-τίθημι: to set up, suppose, propose, 4
ὧδε: in this way, so, thus, 4

7 **ὡς οὐκ ἀληθῆ (ὄντα)**: *on the grounds of not being true*; i.e. as not true; ὡς + pple, expressed alleged cause
σαφέστερον: comparative adv.
λέγω: *I mean*
τὸν Δία: acc. sg. Ζεύς
b1 **ἀλλὰ**: *well*; as often, beginning a speech (S 2784)
ἦ δ' ὅς: see note on p. 9
οὐδὲν...: *nothing (is)*; add verb
2 **παρεληλυθότι**: *past*; pf. pple παρ-έχομαι
οὐδὲν: *not at all*; 'made no ceasing,' inner acc.
πέπαυμαι: pf. mid. + complementary pple
4 **εἶδος**: i.e. kind
πεπραγμάτευμαι: pf. mid.
εἶμι: fut. ἔρχομαι
ἐπὶ: *to…*; acc. place to which
5 **ὑποθέμενος**: aor. mid. pple ὑποτίθημι
εἶναι: *that there exists…*
6 **τι καλὸν**: *something beautiful*
6 **αὐτὸ κατ(ὰ) (ἑ)αυτὸ**: *itself in itself*
τἆλλα: τὰ ἄλλα
7 **ἃ**: *(things) which*; (ταῦτα) ἃ
δίδως: *you grant*; 2s pres.
8 **ὡς ἀθάνατον (ἐστίν) ψυχή**: *that a soul…*; Plato often employs neuter predicates through the subject is masc. or fem.; supply a linking verb

ἀλλὰ μήν, ἔφη ὁ Κέβης, ὡς διδόντος σοι οὐκ ἂν **c**
φθάνοις περαίνων.

σκόπει δή, ἔφη, τὰ ἑξῆς ἐκείνοις ἐάν σοι συνδοκῇ ὥσπερ ἐμοί. φαίνεται γάρ μοι, εἴ τί ἐστιν ἄλλο καλὸν πλὴν αὐτὸ τὸ καλόν, οὐδὲ δι' ἓν ἄλλο καλὸν εἶναι ἢ διότι μετέχει ἐκείνου τοῦ καλοῦ· καὶ πάντα δὴ οὕτως λέγω. τῇ τοιᾷδε αἰτίᾳ συγχωρεῖς;

συγχωρῶ, ἔφη.

οὐ τοίνυν, ἦ δ' ὅς, ἔτι μανθάνω οὐδὲ δύναμαι τὰς ἄλλας αἰτίας τὰς σοφὰς ταύτας γιγνώσκειν· ἀλλ' ἐάν τίς μοι λέγῃ διὰ ὅτι καλόν ἐστιν ὁτιοῦν, ἢ χρῶμα εὐανθὲς ἔχον ἢ σχῆμα **d**
ἢ ἄλλο ὁτιοῦν τῶν τοιούτων, τὰ μὲν ἄλλα χαίρειν ἐῶ,

γιγνώσκω: learn to know, to learn, realize 12
δίδωμι: to give, offer, grant, provide, 15
δι-ότι: because, for the reason that, 1
δύναμαι: to be able, can, be capable, 15
ἐάω: to permit, allow, let be, suffer, 9
ἑξῆς: one after another, in a row, in order, 1
εὐ-ανθής, -ές: bright, glowing, flowery, 1
μανθάνω: to learn, understand, 12
μετ-έχω: to partake of, have share in (gen) 13
ὅστισ-οῦν, ἥτισουν, ὅτι-οῦν: whosoever, 11
περαίνω: to bring to an end, finish, 1
πλήν: except, but (+ gen.), 7
σοφός, -ή, -όν: wise, skilled, clever, 5
συγ-χωρέω: agree, yield, come together, 13
συν-δοκέω: to seem good also, 6
σχῆμα, -ατος, τό: form, figure, appearance, 3
φθάνω: to anticipate, do first, 1
χαίρω: to rejoice, be glad, enjoy; fare well 12
χρῶμα, -ατος, τό: color, complexion, 9

c1 **ἀλλὰ μήν**: *well certainly, well surely*; here a strong assent; cf. 61d9, 63a4, etc.
ὡς διδόντος σοι: *since (I) grant (it) to you*; 'on the grounds that…' ὡς + pple (here gen. abs.) expresses alleged cause
οὐκ...περαίνων: *you could not be too quick in finishing (the task)*; φθάνω governs a complementary pple (S 2096d); potential opt. is used here as a command
3 **σκόπει**: σκόπε-ε, imperative
τὰ ἑξῆς ἐκείνοις: *the things next to those*; i.e. the next point
4 **εἴ...καλὸν**: *if anything other is…*; τι
αὐτὸ τὸ καλόν: *the beautiful itself*
5 **οὐδὲ δι(ὰ) ἓν ἄλλο**: *that for no other reason*; 'on account of not one other thing' οὐδὲ... ἓν is here equiv. to οὐδὲν
μετέχει: *partakes of, participates in..*; this common philosophical term governs a partitive gen.
6 **πάντα δὴ**: *absolutely everything*; intensive, S 2843
τῇ αἰτίᾳ: *with…*; dat. of compound verb
9 **ἦ δ'ὅς**: see note on pg. 9
τὰ σοφὰς ταύτας: all modify αἰτίας
d1 **δι(ὰ) ὅτι**: *for what reason, on account of what*
ὁτιοῦν: *whatsoever*; neut. nom. sg. subject
ἢ....ἔχον: *(by) having either…or…or*; the pple is neut. modifying neut. sg. ὁτιοῦν
2 **χαίρειν ἐῶ**: *I dismiss the other things*; ἐάω 'I allow the others to say farewell' a idiom that relies on the fact that χαῖρε, 'fare well' is a usual way of saying goodbye; the ἄλλα refers to τὰς αἰτίας in c9-10

—ταράττομαι γὰρ ἐν τοῖς ἄλλοις πᾶσι—τοῦτο δὲ ἁπλῶς καὶ ἀτέχνως καὶ ἴσως εὐήθως ἔχω παρ᾽ ἐμαυτῷ, ὅτι οὐκ ἄλλο τι
5 *ποιεῖ αὐτὸ καλὸν ἢ ἡ ἐκείνου τοῦ καλοῦ εἴτε παρουσία εἴτε κοινωνία εἴτε ὅπῃ δὴ καὶ ὅπως †προσγενομένη· οὐ γὰρ ἔτι τοῦτο διισχυρίζομαι, ἀλλ᾽ ὅτι τῷ καλῷ πάντα τὰ καλὰ [γίγνεται] καλά. τοῦτο γάρ μοι δοκεῖ ἀσφαλέστατον εἶναι καὶ ἐμαυτῷ ἀποκρίνασθαι καὶ ἄλλῳ, καὶ τούτου ἐχόμενος*
e *ἡγοῦμαι οὐκ ἄν ποτε πεσεῖν, ἀλλ᾽ ἀσφαλὲς εἶναι καὶ ἐμοὶ καὶ ὁτῳοῦν ἄλλῳ ἀποκρίνασθαι ὅτι τῷ καλῷ τὰ καλὰ [γίγνεται] καλά· ἢ οὐ καὶ σοὶ δοκεῖ;*

δοκεῖ.

5 *καὶ μεγέθει ἄρα τὰ μεγάλα μεγάλα καὶ τὰ μείζω μείζω, καὶ σμικρότητι τὰ ἐλάττω ἐλάττω;*

ἀ-σφαλής, -ές: safe, secure, not liable to fall 6
ἀ-τεχνῶς: simply, absolutely, really, 6
ἁπλῶς: singly, plainly, absolutely, 2
ἀπο-κρίνομαι: to answer, reply, 13
δι-ισχυρίζομαι: affirm confidently; rely on, 5
εἴ-τε: either...or; whether...or, 13
εὐ-ήθης, -ες: foolish, simple-natured, silly, 3
ἴσως: perhaps, probably; equally, likely, 19
κοινωνία, ἡ: community, association, 2
μέγεθος, -εος, τό: size, magnitude, height, 17
ὅπῃ: in what way; where, how, 11
ὅπως: how, in what way; in order that, that 10
ὅστις-οὖν, ἥτισουν, ὅτι-οὖν: whosoever, 11
παρ-ουσία, ἡ: presence, 1
πίπτω: to fall, 3
προσ-γίγνομαι: to come to be in addition, 4
σμικρότης, -τητος, ἡ: smallness, 10
ταράττω: to trouble, stir, agitate, confuse, 6

3 **ἐν**: *among…*; readers might prefer ‘by’ and a dat. of cause in this context
4 **ἔχω**: *I hold*
παρ(ὰ) ἐμαυτῷ: *close to myself*
ὅτι: *(namely) that...*; in apposition to τοῦτο
ἄλλο τι: subject
5 **ἐκείνου τοῦ καλοῦ**: *of that beautiful*
6 **ὅπῃ δὴ καὶ ὅπως προσγενομένη**: *or in just what way or how (it makes it beautiful) by being added (to it)*; i.e. mid. pple is causal in sense
7 **ἀλλ(ὰ) (διισχυρίζομαι) ὅτι**: *but (I affirm confidently) that…*; supply missing verb
τῷ καλῷ: *by the beautiful*; dat. of cause
9 **ἄλλῳ**: *to anyone else*; dat. ind. object
τούτου ἐχόμενος: *clinging to this*; partitive gen. is common with verbs of touching
e1 **ἄν...πεσεῖν**: *that I would fall short*; i.e. fail, ἄν + inf. (aor. πίπτω) in place of potential opt. in direct disc.
5 **ὁτῳοῦν**: dat. ind. obj., ὅστις-οὖν
τῷ καλῷ: *because of the beautiful*; ‘by…’ dat. of means or cause
5 **μεγέθει**: *by…*; dat. of cause
σμικρότητι: *by…*; dat. of cause
μείζω: μειζο(ν)α, neut. nom. pl.
6 **ἐλάττω**: ἐλαττο(ν)α, neut. nom. pl.

ναί.

οὐδὲ σὺ ἄρ᾽ ἂν ἀποδέχοιο εἴ τίς τινα φαίη ἕτερον ἑτέρου τῇ κεφαλῇ μείζω εἶναι, καὶ τὸν ἐλάττω τῷ αὐτῷ τούτῳ ἐλάττω, ἀλλὰ διαμαρτύροιο ἂν ὅτι σὺ μὲν οὐδὲν ἄλλο λέγεις 101
ἢ ὅτι τὸ μεῖζον πᾶν ἕτερον ἑτέρου οὐδενὶ ἄλλῳ μεῖζόν ἐστιν ἢ μεγέθει, καὶ διὰ τοῦτο μεῖζον, διὰ τὸ μέγεθος, τὸ δὲ ἔλαττον οὐδενὶ ἄλλῳ ἔλαττον ἢ σμικρότητι, καὶ διὰ τοῦτο ἔλαττον, διὰ τὴν σμικρότητα, φοβούμενος οἶμαι μή τίς σοι 5
ἐναντίος λόγος ἀπαντήσῃ, ἐὰν τῇ κεφαλῇ μείζονά τινα φῇς εἶναι καὶ ἐλάττω, πρῶτον μὲν τῷ αὐτῷ τὸ μεῖζον μεῖζον εἶναι καὶ τὸ ἔλαττον ἔλαττον, ἔπειτα τῇ κεφαλῇ σμικρᾷ οὔσῃ τὸν μείζω μείζω εἶναι, καὶ τοῦτο δὴ τέρας εἶναι, τὸ σμικρῷ τινι b
μέγαν τινὰ εἶναι· ἢ οὐκ ἂν φοβοῖο ταῦτα;

ἀπ-αντάω: to encounter, meet with (dat.), 1
ἀπο-δέχομαι: to accept, receive, 9
δια-μαρτύρομαι: protest, insist; call gods and men to witness, 1
κεφαλή, ἡ: the head, 6
μέγεθος, -εος, τό: size, magnitude, height, 17
ναί: yes, yea, 15
σμικρός, -ά, -όν: small, little, 19
σμικρότης, -τητος, ἡ: smallness, 10
τέρας, τό: wonder, marvel, portent, 1
φοβέω: to put to flight, terrify, frighten, 15

7 **ἂν ἀποδέχοι(σ)ο**: would…; 2s pres. mid., fut. less vivid condition
8 **φαίη**: *should claim*; pres. opt.
ἑτέρου: *than…*; gen. of comparison
9 **τῇ κεφαλῇ**: *by…*; dat. of degree of difference
μείζω: μειζο(ν)α, acc. sg. subject
τὸν ἐλάττω (εἶναι): ἐλαττο(ν)α, acc. sg. subject; supply inf.
τῷ αὐτῷ τούτῳ: *by*…; dat. of degree of difference
101a1 **διαμαρτύροι(σ)ο ἂν**: *you would protest*; parallel to ἀποδέχοιο
2 **τὸ μεῖζον πᾶν ἕτερον**: *every greater thing*
ἑτέρου: *than…*; gen. of comparison
οὐδενὶ ἄλλῳ: *by*…; dat. of degree of difference
3 **μεγέθει**: *by…*; ‘because of…’ dat. of cause
μεῖζον: *(it is) greater*; add linking verb
διὰ τὸ μέγεθος: in apposition to διὰ τοῦτο
τὸ ἔλαττον...σμικρότητα: parallel to a2-3
5 **διὰ τὴν σμικρότητα**: in apposition to διὰ τοῦτο in line 4
οἶμαι: οἴομαι, parenthetical
μὴ...ἀπαντήσῃ: *that…*; ‘lest’, fearing clause; μή + subj. (3s aor.. pple)
6 **τῇ κεφαλῇ**: dat. of degree of difference
μείζονά...καὶ ἐλάττω: i.e. greater or smaller; ἐλαττο(ν)α, both predicates of εἶναι, τινα is acc. subject
7 **τῷ αὐτῷ**: *by*…; dat., degree of difference
8 **σμικρᾷ ουσῃ**: σμικρᾷ is predicate of the sg. pple εἰμί
b1 **καὶ...δὴ**: *and…indeed*; emphasizing the intervening word just as καὶ...γε
τὸ...εἶναι: articular inf. in apposition to τοῦτο, τινα is acc. subj.
σμικρῷ τινι: dat. of cause
2 **φοβοῖ(σ)ο**: 2s see e7 above

καὶ ὁ Κέβης γελάσας, ἔγωγε, ἔφη.

οὐκοῦν, ἦ δ᾽ ὅς, τὰ δέκα τῶν ὀκτὼ δυοῖν πλείω εἶναι, καὶ διὰ ταύτην τὴν αἰτίαν ὑπερβάλλειν, φοβοῖο ἂν λέγειν, ἀλλὰ μὴ πλήθει καὶ διὰ τὸ πλῆθος; καὶ τὸ δίπηχυ τοῦ πηχυαίου ἡμίσει μεῖζον εἶναι ἀλλ᾽ οὐ μεγέθει; ὁ αὐτὸς γάρ που φόβος.

πάνυ γ᾽, ἔφη.

τί δέ; ἑνὶ ἑνὸς προστεθέντος τὴν πρόσθεσιν αἰτίαν εἶναι **c** τοῦ δύο γενέσθαι ἢ διασχισθέντος τὴν σχίσιν οὐκ εὐλαβοῖο ἂν λέγειν; καὶ μέγα ἂν βοῴης ὅτι οὐκ οἶσθα ἄλλως πως ἕκαστον γιγνόμενον ἢ μετασχὸν τῆς ἰδίας οὐσίας ἑκάστου οὗ ἂν μετάσχῃ, καὶ ἐν τούτοις οὐκ ἔχεις ἄλλην τινὰ αἰτίαν τοῦ δύο γενέσθαι ἀλλ᾽ ἢ τὴν τῆς δυάδος μετάσχεσιν, καὶ

ἄλλως: otherwise, in another way, 14
βοάω: to cry aloud, shout, 3
γελάω: to laugh, 6
δέκα: ten, 3
δια-σχίζω: to cleave or rend asunder, 2
δί-πηχυς, -υ: two cubits, two cubits long, 2
δυάς, δυάδος, ἡ: two, pair, dyad, duality, 3
εὐλαβέομαι: be cautious, be careful, beware, 5
ἥμισυς, -εια, -υ: half, 5
ἴδιος, -α, -ον: peculiar, proper, personal, 1
μέγεθος, -εος, τό: size, magnitude, length, 17
μετ-έχω: to partake of, have share in (gen) 13
μετάσχεσις, ἡ: participation, 1
ὀκτώ: eight, 2
οὐσία, ἡ: being, essence, substance, 6
πηχυαῖος, -η, -ον: a cubit, a cubit long, 2
πλέων, -ον: more, greater, 17
πλῆθος, ἡ: number, multitude; size, crowd, 3
προσ-θέσις, ἡ: adding, addition, 3
προσ-τίθημι: to add, attribute, impose, give 10
πως: somehow, in any way, 3
σχίσις, -εως, ἡ: division, parting, cleavage, 4
ὑπερ-βάλλω: overshoot, exceed, go beyond 1
φοβέω: to put to flight, terrify, frighten, 15
φόβος, ὁ: fear, terror, panic, 10

3 **γελάσας**: *bursting into laughter*; inceptive aor. pple, nom. sg., compare 64a10
4 **τὰ δέκα**: *ten*; do not translate the article
τῶν ὀκτὼ: gen. of comparison
δυοῖν: *by…*; dual dat. of degree of difference
πλείω: πλείο(ν)α, acc. sg. predicate
5 **φοβοῖ(σ)ο ἄν**: 2s pres mid., potential opt.
6 **πλήθει**: *by…*; ‘because of…’ dat. of cause
τοῦ πηχυαίου: gen. of comparison
7 **ἡμίσει**: dat. of degree of difference
μεγέθει: dat. of degree of difference
ὁ...φόβος: *(there would be)*; supply verb
9 **τί δέ**: *what (about this)?*
ἑνὶ: dat. of compound verb (pple), εἷς
ἑνὸς προστεθέντος: *one…*; gen. abs., aor. pass. pple προστίθημι
c1 **τοῦ δύο γενέσθαι**: articular inf., δύο is the predicate
(ἑνὸς) διαχισθέντος: one…; gen. absolute; aor. pass. pple, parallel to line 9
εὐλαβοῖ(σ)ο ἄν: *would you not avoid*; + inf., potential opt.; anticipates a ‘yes’ reply
2 **μέγα**: *loudly*; adverbial acc.
ἂν βοᾴης: βοάοιης, (alt. to βοάοις) opt.
οἶσθα: 2s. οἶδα
3 **ἕκαστον γιγνόμενον**: *each coming to be*
μετασχὸν: neuter sg. aor. pple.; see p. 27
4 **οὗ...μετάσχῃ**: *whatever…*; 3s aor. subj. in an indefinite relative clause; see p. 27
οὐκ ἔχεις: *you do not hold that…*; i.e. accept
5 **ἀλλ(ὰ) ἢ**: *but…*; or ‘rather than’

δεῖν τούτου μετασχεῖν τὰ μέλλοντα δύο ἔσεσθαι, καὶ μονάδος ὃ ἂν μέλλῃ ἓν ἔσεσθαι, τὰς δὲ σχίσεις ταύτας καὶ προσθέσεις καὶ τὰς ἄλλας τὰς τοιαύτας κομψείας ἐᾷς ἂν χαίρειν, παρεὶς ἀποκρίνασθαι τοῖς σεαυτοῦ σοφωτέροις· σὺ δὲ δεδιὼς ἄν, τὸ λεγόμενον, τὴν σαυτοῦ σκιὰν καὶ τὴν ἀπειρίαν, ἐχόμενος d
ἐκείνου τοῦ ἀσφαλοῦς τῆς ὑποθέσεως, οὕτως ἀποκρίναιο ἄν. εἰ δέ τις αὐτῆς τῆς ὑποθέσεως ἔχοιτο, χαίρειν ἐᾷς ἂν καὶ οὐκ ἀποκρίναιο ἕως ἂν τὰ ἀπ' ἐκείνης ὁρμηθέντα σκέψαιο εἴ σοι ἀλλήλοις συμφωνεῖ ἢ διαφωνεῖ· ἐπειδὴ δὲ ἐκείνης 5
αὐτῆς δέοι σε διδόναι λόγον, ὡσαύτως ἂν διδοίης, ἄλλην αὖ ὑπόθεσιν ὑποθέμενος ἥτις τῶν ἄνωθεν βελτίστη φαίνοιτο, ἕως ἐπί τι ἱκανὸν ἔλθοις, ἅμα δὲ οὐκ ἂν φύροιο ὥσπερ οἱ e

---

ἄνω-θεν: from above, from on high, 2
ἀ-πειρία, ἡ: inexperience, 1
ἀπο-κρίνομαι: to answer, reply, 13
ἀ-σφαλής, -ές: safe, secure, not liable to fall 6
βέλτιστος, -η, -ον: best, 14
δείδω: fear, dread, shrink from, feel awe, 11
διαφωνέω: be in disharmony, disagree +dat 1
δίδωμι: to give, offer, grant, provide, 15
ἐάω: to permit, allow, let be, suffer, 9
ἕως: until, as long as, 15
κομψεία, ἡ: subtleties, refinement, 1
μέλλω: to be about to, intend to (fut. inf.) 19
μετ-έχω: to partake of, have share in (gen) 13
μονάς, μονάδος ἡ: unity, monad; solitary, 1
ὁρμάω: to set in motion; set out, begin, 5
παρ-ίημι: to permit; let or allow pass, 1
προσ-θέσις, ἡ: adding, addition, 3
σαυτοῦ (σεαυτοῦ), -ῆ, -οῦ: yourself, 4
σκέπτομαι: look at, examine, consider, 9
σκια, ἡ: shadow, 1
σοφός, -ή, -όν: wise, skilled, 5
συμ-φωνέω: be in harmony, agree (+dat.) 2
σχίσις, -εως, ἡ: division, parting, cleavage, 4
ὑπο-θέσις, -εως, ἡ: hypothesis; proposal, 6
φύρω: to mix up, jumble up, 2
ὡσ-αύτως: in the same manner, just so, 4

6 **δεῖν**: *that it is necessary…*; following ἔχεις
μετασχεῖν: aor. inf.; see p. 27
τὰ μέλλοντα...: things…; acc. subj.
ἔσεσθαι: fut. inf. εἰμί
μονάδος (μετασχεῖν): add inf. to be parallel
7 **ὃ**: *(that) which…*; τοῦτο ὅ, acc. subj.
8 **ἐᾷς ἂν χαίρειν**: *you should dismiss*; opt., ἐάω χαίρειν, 'allow…to say farewell' is an idiom (see100d2), the verb is set in contrast to ἔχεις in c4
παρεὶς: *permitting*: + dat. + inf., nom. sg. aor. pple παρ-ίημι
9 **σεαυτοῦ**: gen. of comparison
δεδιὼς: nom. sg. pf. pple δείδω
ἄν...ἄν: *as the saying goes*; 'in
τὸ λεγόμενον: *as the saying goes*; 'in respect to what is sai' acc. respect
d1 **ἐχόμενος**: *clinging to…*; + partitive gen.
2 **τοῦ ἀσφαλοῦς**: *the safety*; ἀσφαλέος, a substantive
ἀποκρίναι(σ)ο: 2s potential aor. opt.
3 **εἰ...ἔχοιτο, ἐᾷς ἂν**: *if...should lay hold of...,you would*; otherwise, 'should attack'
4 **ἕως ἂν...σκέψαι(σ)ο**: indefinite temporal, assuming potential opt. of the main verb
τὰ...ὁρμηθέντα: *things having arisen from that (hypothesis)*; i.e. consequences
5 **ἐπειδὴ...δέοι, ἂν διδοίης**: *when it should be necessary…*; equiv. to a fut. less vivid
6 **δίδόναι λόγον**: *to give an account*
ὑποθέμενος: *by…*; causal, aor. mid. pple
τῶν ἄνωθεν: *among those above*
e1 **ἔλθοις**: aor. opt. ἔρχομαι, indef. temporal
ἂν φυοι(σ)ο: *you would not jumble them*

ἀντιλογικοὶ περί τε τῆς ἀρχῆς διαλεγόμενος καὶ τῶν ἐξ ἐκείνης ὡρμημένων, εἴπερ βούλοιό τι τῶν ὄντων εὑρεῖν; ἐκείνοις μὲν γὰρ ἴσως οὐδὲ εἷς περὶ τούτου λόγος οὐδὲ φροντίς· ἱκανοὶ γὰρ ὑπὸ σοφίας ὁμοῦ πάντα κυκῶντες ὅμως δύνασθαι αὐτοὶ αὑτοῖς ἀρέσκειν· σὺ δ', εἴπερ εἶ τῶν φιλοσόφων,
102 *οἶμαι ἂν ὡς ἐγὼ λέγω ποιοῖς.*

ἀληθέστατα, ἔφη, λέγεις, ὅ τε Σιμμίας ἅμα καὶ ὁ Κέβης.

ΕΧ. *νὴ Δία, ὦ Φαίδων, εἰκότως γε· θαυμαστῶς γάρ μοι δοκεῖ ὡς ἐναργῶς τῷ καὶ σμικρὸν νοῦν ἔχοντι εἰπεῖν ἐκεῖνος ταῦτα.*

ΦΑΙΔ. *πάνυ μὲν οὖν, ὦ Ἐχέκρατες, καὶ πᾶσι τοῖς παροῦσιν ἔδοξεν.*

ἀντι-λογικός -όν: disputatious, contradictory; subst. disputant, 2
ἀρέσκω: to please, satisfy, appease (+ dat). 1
δια-λέγομαι: to converse with, discuss, 13
εἰκότως: suitably, reasonably, fairly, 5
ἐν-αργής, -ές: visible, distinct, manifest, 4
εὑρίσκω: to find, discover, devise, invent, 8
Ζεύς, ὁ: Zeus, 11
θαυμαστός, -ή, -όν: wonderful, marvelous, 11
ἴσως: perhaps, probably; equally, likely, 19
κυκάω: to stir up, throw into confusion, 1
νή: by…(+ acc, invoking a god), 14
νοῦς, ὁ: mind, intention, attention, thought, 14
ὁμοῦ: at the same place, together, 3
ὅμως: nevertheless, however, yet, 13
ὁρμάω: to set in motion; set out, begin, 5
σμικρός, -ά, -όν: small, little, 19
σοφία, ἡ: wisdom, judgment, intelligence, 2
φιλό-σοφος, ὁ, ἡ: pursuer of wisdom, 18
φροντίς, -ίδος, ὁ: care, concern, throught, 1

2 **τῆς ἀρχῆς**: *the beginning*
(περὶ) τῶν...ὡρμημένων: pf. pass. ὁρμάω, i.e.consequences, see c4
3 **ἐκείνης**: i.e. τῆς ἀρχῆς
βούλοι(σ)ο: 2s pres. mid. opt.
τῶν ὄντων: *of the things which are*
4 **ἐκείνοις**: *to those (there is)…*; referring to the οἱ ἀντιλογικοί, a dat. of possession with missing linking verb
οὐδὲ εἷς...οὐδὲ (εἷς): *not even one account and not even (one) concern*
5 **ἱκανοὶ...ἀρέσκειν**: *for because of wisdom they (are) capable, (although) confusing everything together, nevertheless to be able to be pleased with themselves*; ἱκανοί is a predicate, add a linking verb; ἀντιλογικοί think that they are wise but are not
ὑπὸ...: *because of…*; gen. of cause
ὁμοῦ...κυκῶντες: *although…*; pple is concessive in sense
6 **αὑτοῖς**: ἑαυτοῖς ; reflexive
εἶ: 2s pres. εἰμί
τῶν φιλοσόφων: *among…*; partitive gen.
102a1 **οἶμαι**: οἴομαι
ὡς...λέγω: *just as…*
3 **Δία**: *Zeus*; acc. sg.
θαυμαστῶς ὡς ἐναργῶς: *how marvelously clearly…*' once, '(it is) marvelous how clearly' the neut. predicate θαυμαστόν has assimilated to become an adv. before ὡς
4 **μοῖ δοκεῖ**: ἐκεῖνος is subject
τῷ...νοῦν ἔχοντι: *to one having even little sense*; dat. indirect object with εἰπεῖν
6 **πάνυ μὲν οὖν**: *quite certainly indeed*; μὲν οὖν is a strong assent
7 **τοῖς παροῦσιν**: dat. pl. pple πάρ-ειμι

ΕΧ. *καὶ γὰρ ἡμῖν τοῖς ἀποῦσι, νῦν δὲ ἀκούουσιν. ἀλλὰ τίνα δὴ ἦν τὰ μετὰ ταῦτα λεχθέντα;*

ΦΑΙΔ. *ὡς μὲν ἐγὼ οἶμαι, ἐπεὶ αὐτῷ ταῦτα συνεχωρήθη,* 10
καὶ ὡμολογεῖτο εἶναί τι ἕκαστον τῶν εἰδῶν καὶ τούτων **b**
τἆλλα μεταλαμβάνοντα αὐτῶν τούτων τὴν ἐπωνυμίαν ἴσχειν,
τὸ δὴ μετὰ ταῦτα ἠρώτα, εἰ δή, ἦ δ' ὅς, ταῦτα οὕτως λέγεις,
ἆρ' οὐχ, ὅταν Σιμμίαν Σωκράτους φῇς μείζω εἶναι, Φαίδωνος
δὲ ἐλάττω, λέγεις τότ' εἶναι ἐν τῷ Σιμμίᾳ ἀμφότερα, καὶ 5
μέγεθος καὶ σμικρότητα;

ἔγωγε.

ἀλλὰ γάρ, ἦ δ' ὅς, ὁμολογεῖς τὸ τὸν Σιμμίαν ὑπερέχειν
Σωκράτους οὐχ ὡς τοῖς ῥήμασι λέγεται οὕτω καὶ τὸ ἀληθὲς
ἔχειν; οὐ γάρ που πεφυκέναι Σιμμίαν ὑπερέχειν τούτῳ, τῷ **c**

ἀμφότερος, -α, -ον: each of two, both, 5
ἄπ-ειμι: to be away, absent, distant, 1
εἶδος, -εος, τό: form, shape, figure, 17
ἐπωνυμία, ἡ: a nickname, surname, 5
ἐρωτάω: to ask, inquire, question, 10
ἴσχω: to have, hold back, check, restrain, 3
μέγεθος, -εος, τό: size, magnitude, height, 17
μείζων, μείζον: larger, greater, 26
μετα-λαμβάνω: take a share of, partake in 2
ῥῆμα, -ατος, τό: word, phrase, saying, 1
σμικρότης, -τητος, ἡ: smallness, 10
συγ-χωρέω: agree, yield, come together, 13
ὑπερ-έχω: exceed, hold over or above (gen) 8
φύω: to bring forth, beget, engender; am by nature, 14

8 **καὶ γὰρ**: *and in fact…*
τοῖς ἀποῦσι...ἀκούουσιν: pres. participles ἄπ-ειμι, ἀκούω
9 **τὰ...λεχθέντα**: aor. pass. pple λέγω
10 **ὡς**: *as…*; parenthentical
συνεχωρήθη: 3s aor. pass. συγχωρέω
b1 **εἶναι τι...εἰδῶν**: *that each of the forms is something*; i.e. exist
τούτων: partitive gen. of the pple
b2 **καὶ...τἆλλα**: *and other things…*; τὰ ἄλλα, acc. subject of ἴσχειν
αὐτῶν τούτων: *from…*; gen. of source i.e. from τῶν εἰδῶν
3 **ἠρώτα**: ἠρώτα-ε, 3s impf. ἐρωτάω Socrates is subject
τὸ δὴ μετὰ ταῦτα: *the very thing after these*
ἦ δ'ὅς: see note on pg. 9
4 **Σωκράτους**: gen. of comparison
μείζω: μείζο(ν)α, acc. sg. predicate
Φαίδωνος: gen. of comparison
5 **ἐλάττω**: ἐλάττο(ν)α, acc. sg. predicate
6 **μέγεθος**: greatness; i.e. magnitude
8 **ἀλλὰ γάρ**: *and yet…*; GP 102
τὸ τὸν Σιμμίαν ὑπερέχειν Σωκράτους: *in respect to Simmias' exceeding Socrates*; this articular inf. is an acc.of respect
οὐχ ὡς...λέγεται οὕτω...ἔχειν: *that the truth in fact is not thus as it is said with (these) words*; τὸ ἀληθὲς is acc. subject, καί is adverbial, ἔχειν + οὕτως is 'is thus' (see p. 7), and οὕτως and ὡς are correlatives. τοῖς. ῥήμασι refers to Simmias' overcoming Socrates
c1 **οὐ γάρ...(ὁμολογεῖς) πεφυκέναι...**
ὑπερέχειν: *for I suppose (you agree that) Simmias is not disposed by nature to exceed*
τούτῳ: *because of this*; dat. of cause.
τῷ...εἶναι: *(namely) because of…*

Σιμμίαν εἶναι, ἀλλὰ τῷ μεγέθει ὃ τυγχάνει ἔχων· οὐδ' αὖ Σωκράτους ὑπερέχειν ὅτι Σωκράτης ὁ Σωκράτης ἐστίν, ἀλλ' ὅτι σμικρότητα ἔχει ὁ Σωκράτης πρὸς τὸ ἐκείνου μέγεθος;

ἀληθῆ.

οὐδέ γε αὖ ὑπὸ Φαίδωνος ὑπερέχεσθαι τῷ ὅτι Φαίδων ὁ Φαίδων ἐστίν, ἀλλ' ὅτι μέγεθος ἔχει ὁ Φαίδων πρὸς τὴν Σιμμίου σμικρότητα;

ἔστι ταῦτα.

οὕτως ἄρα ὁ Σιμμίας ἐπωνυμίαν ἔχει σμικρός τε καὶ μέγας εἶναι, ἐν μέσῳ ὢν ἀμφοτέρων, τοῦ μὲν τῷ μεγέθει **d** *ὑπερέχειν τὴν σμικρότητα ὑπέχων, τῷ δὲ τὸ μέγεθος τῆς σμικρότητος παρέχων ὑπερέχον. καὶ ἅμα μειδιάσας, ἔοικα,*

ἀμφότερος, -α, -ον: each of two, both, 5
ἐπωνυμία, ἡ: a nickname, surname, 5
μέγεθος, -εος, τό: size, magnitude, height, 17
μειδιάω: to smile, grin 2
μέσος, - η, -ον: middle, in the middle of, 8
παρ-έχω: to provide, furnish, supply, 16
σμικρός, -ά, -όν: small, little, 19
σμικρότης, -τητος, ἡ: smallness, 10
ὑπ-έχω: to undergo, bear, suffer; submit, 3
ὑπερ-έχω: exceed, surpass, hold over (gen) 8

2 **τῷ...εἶναι**: *(namely) because of…*; dat. of cause, in apposition to τούτῳ
τῷ μεγέθει: i.e. greatness, dat. of cause
τυγχάνει : + pple, see p. 20
3 **(Σιμμίαν) ὑπερέχειν**: *that…*; supply acc. subject
ὅτι: *because…*
4 **πρὸς**: *in relation to…in comparison to..*
6 **οὐδέ γε**: *yes, but…not*; (GP 156) compare 94a6
τῷ: *because of this*; demonstrative, dat. of
(Σιμμίαν) ὑπερέχεσθαι: *(you agree) that Simmias is…*; add acc. subject; ind. disc. governed by ὁμολογεῖς in b8
τῷ: *because of this*; demonstrative, cause
ὅτι: *(namely) because…*
7 **πρὸς**: *in relation to…in comparison to..*
9 **ἔστι**: *are the case*; i.e. are true
10 **ἐπωνυμίαν**: *in (respect) to….*; acc. respect
ἔχει: *is able*
11 **ὤν**: pple εἰμί
ἀμφοτέρων: i.e. Phaedo and Socrates
τοῦ μὲν...τῷ δὲ: *one…the other…*; Phaedo and Socrates respectively; lines c11-d2 can be interpreted a number of ways
d1 **τοῦ μὲν...μεγέθει...ὑπέχων**: *submitting his smallness to the largeness of one (i.e. Phaedo) to exceed*; inf. of purpose (S 2008)
2 **τῷ δὲ...ὑπερέχον**: *and providing to the other largeness exceeding his (i.e. Socrates') smallness*; neut. pple ὑπερέχω
μειδιάσας: *beginning to smile*; inceptive aor., nom. sg. pple, compare 64a10, 101b3
ἔοικα: *I seem, I look (as if)* + inf.

ἔφη, καὶ συγγραφικῶς ἐρεῖν, ἀλλ᾽ οὖν ἔχει γέ που ὡς λέγω. συνέφη.

λέγω δὴ τοῦδ᾽ ἕνεκα, βουλόμενος δόξαι σοὶ ὅπερ ἐμοί. ἐμοὶ 5
γὰρ φαίνεται οὐ μόνον αὐτὸ τὸ μέγεθος οὐδέποτ᾽ ἐθέλειν
ἅμα μέγα καὶ σμικρὸν εἶναι, ἀλλὰ καὶ τὸ ἐν ἡμῖν μέγεθος
οὐδέποτε προσδέχεσθαι τὸ σμικρὸν οὐδ᾽ ἐθέλειν ὑπερέχεσθαι,
ἀλλὰ δυοῖν τὸ ἕτερον, ἢ φεύγειν καὶ ὑπεκχωρεῖν ὅταν αὐτῷ **e**
προσίῃ τὸ ἐναντίον, τὸ σμικρόν, ἢ προσελθόντος ἐκείνου
ἀπολωλέναι· ὑπομένον δὲ καὶ δεξάμενον τὴν σμικρότητα
οὐκ ἐθέλειν εἶναι ἕτερον ἢ ὅπερ ἦν. ὥσπερ ἐγὼ δεξάμενος
καὶ ὑπομείνας τὴν σμικρότητα, καὶ ἔτι ὢν ὅσπερ εἰμί, οὗτος
ὁ αὐτὸς σμικρός εἰμι· ἐκεῖνο δὲ οὐ τετόλμηκεν μέγα ὂν 5

ἐθέλω: to be willing, wish, desire, 17
ἕνεκα: for (the sake of), because of, (gen.) 13
μέγεθος, -εος, τό: size, magnitude, height, 17
οὐδέ-ποτε: not ever, never, 11
προσ-δέχομαι: to receive to, accept, admit, 1
προσ-έρχομαι: to come or go to, approach, 4
προσ-ἵημι: send to, let come to, let approach 2
σμικρός, -ά, -όν: small, little, 19
σμικρότης, -τητος, ἡ: smallness, 10
συγ-γραφικός, -ή, -όν: like a book, bookish 1
σύμ-φημι: to agree, approve, 3
τολμάω: to dare, undertake, endure, 2
ὑπ-εκ-χωρέω: to withdraw, move away, 4
ὑπερ-έχω: to hold over or above, 8
ὑπο-μένω: to abide, endure, stay firm, 8
φεύγω: to flee, escape; defend in court, 10

2 **ἐρεῖν**: *to be about to speak*; fut. inf.
3 **καὶ συγγραφικῶς**: *very much like a book*; i.e. with great detail, καί acts as a intensive (S 2882, GP 319)
ἀλλ(ὰ) οὖν...γε: *well, in all events…*; γε emphasizes the preceding word; GP 443, S 2957, compare 100a3
ἔχει (οὕτως): *it is (thus)*
4 **συνέφη**: impf.; Cebes is subject
5 **δὴ**: *of course*; or 'accordingly' S 2841
δόξαι: aor. inf. δοκέω
ὅπερ: *just as…*; 'the very thing (seemed good)'
6 **οὐ μόνον...ἀλλὰ καὶ**: *not only…but also*
ἐθέλειν: *to tend, to strive, to be able*; + inf. the meaning here is similar to δύναμαι; this verb is often used with inanimate objects
8 **ἐθέλειν**: *is it able, does it tend*; see l 6
9 **δυοῖν**: dual partitive gen
τὸ ἕτερον: *one*
αὐτῷ: *to it*; i.e. to the ἕτερον, dat. of compound verb
e1 **προσίῃ**: 3s pres. subj. προσέρχομαι in an indefinite temporal clause
τὸ σμικρόν: in apposition to ἐναντίον
προσελθόντος ἐκείνου: gen. abs., i.e smallness
2 **ἀπολωλέναι**: pf. inf. ἀπόλλυμι, τὸ μέγεθος is the acc. subject
ὑπομένον δὲ: *but abiding*; i.e. τὸ μέγεθος
3 **ἐθέλειν**: *is able, tends*; see l 6
ἦν: 3s impf. εἰμί
ὥσπερ: *in just this way*
4 **ὑπομείνας**: transitive, nom. sg. aor. pple
ὢν: nom. sg. pple εἰμί
5 **ἐκεῖνο**: i.e. τὸ μέγεθος
οὐ τετόλμηκεν: *has not endured*; pf. act.
μέγα ὂν: neuter acc. sg. pple εἰμί

σμικρὸν εἶναι· ὡς δ᾽ αὕτως καὶ τὸ σμικρὸν τὸ ἐν ἡμῖν οὐκ ἐθέλει ποτὲ μέγα γίγνεσθαι οὐδὲ εἶναι, οὐδ᾽ ἄλλο οὐδὲν τῶν
103 *ἐναντίων, ἔτι ὂν ὅπερ ἦν, ἅμα τοὐναντίον γίγνεσθαί τε καὶ εἶναι, ἀλλ᾽ ἤτοι ἀπέρχεται ἢ ἀπόλλυται ἐν τούτῳ τῷ παθήματι.*

παντάπασιν, ἔφη ὁ Κέβης, οὕτω φαίνεταί μοι.

καί τις εἶπε τῶν παρόντων ἀκούσας—ὅστις δ᾽ ἦν, οὐ
5 *σαφῶς μέμνημαι—πρὸς θεῶν, οὐκ ἐν τοῖς πρόσθεν ἡμῖν λόγοις αὐτὸ τὸ ἐναντίον τῶν νυνὶ λεγομένων ὡμολογεῖτο, ἐκ τοῦ ἐλάττονος τὸ μεῖζον γίγνεσθαι καὶ ἐκ τοῦ μείζονος τὸ ἔλαττον, καὶ ἀτεχνῶς αὕτη εἶναι ἡ γένεσις τοῖς ἐναντίοις, ἐκ τῶν ἐναντίων; νῦν δέ μοι δοκεῖ λέγεσθαι ὅτι τοῦτο οὐκ*
10 *ἄν ποτε γένοιτο.*

ἀπ-έρχομαι: to go away, depart, 14
ἀ-τεχνῶς: simply, absolutely, really, 6
αὕτως: in the same manner, just, as it is, 2
γένεσις, -εως, ἡ: coming-to-be, generation, 16
ἐθέλω: to be willing, wish, desire, 17
ἤτοι: now surely, truly, 4
μιμνήσκω: to remind, recall, recollect, 6
νυνί: just now, here now; as it is, 2
πάθημα, -ατος, τό: experience, suffering, 4
παντά-πασι: all in all, absolutely 15
πρόσθεν: before, 10
σαφής, -ές: clear, distinct; certain, reliable, 16
σμικρός, -ά, -όν: small, little, 19

6 **ὡς δ(ὲ) αὕτως καὶ**: *and in the same way also*; i.e. ὡσαύτως
7 **ἐθέλει**: *tends, is able, strives* + inf. the meaning here is similar to that of δύναμαι
ἄλλο οὐδὲν...ἐναντίων (ἐθέλει...εἶναι): nom. subj. supply verbs for parallelism
103a1 **ὄν**: neut. sg. pple εἰμί
ὅπερ ἦν: *just as…*; 'which very thing'
τοὐναντίον: τὸ ἐναντίον
2 **ἤτοι..ἤ**: *either, you know,…or*; ἤτοι opens a disjunction where the first choice is more probable (GP 553)
4 **εἶπε**: aor. λέγω
τῶν παρόντων: partitive gen. πάρειμι
5 **μέμνημαι**: pf. μιμνήσκω, present sense
πρὸς θεῶν: *By the gods!*; an exclamation
ἐν τοῖς πρόσθεν...λόγοις: *in the previous conversation*
ἡμῖν: *for us*; dat. of interest
οὐκ...ὡμολογεῖτο: *was not…agreed upon?* anticipating a yes response
7 **(ὡμολογεῖτο) γίγνεσθαι...εἶναι**: *(was agreed) to…*; supply verb from above
8 **ἡ γένεσις τοῖς ἐναντίοις**: *coming-to-be for the opposites*; dat. of possession
τοῖς ἐναντίοις: *past*; pf. pple πέχομαι
10 **ἄν...γένοιτο**: *could…*; potential opt.

καὶ ὁ Σωκράτης παραβαλὼν τὴν κεφαλὴν καὶ ἀκούσας, ἀνδρικῶς, ἔφη, ἀπεμνημόνευκας, οὐ μέντοι ἐννοεῖς τὸ b
διαφέρον τοῦ τε νῦν λεγομένου καὶ τοῦ τότε. τότε μὲν
γὰρ ἐλέγετο ἐκ τοῦ ἐναντίου πράγματος τὸ ἐναντίον πρᾶγμα
γίγνεσθαι, νῦν δέ, ὅτι αὐτὸ τὸ ἐναντίον ἑαυτῷ ἐναντίον οὐκ
ἄν ποτε γένοιτο, οὔτε τὸ ἐν ἡμῖν οὔτε τὸ ἐν τῇ φύσει. 5
τότε μὲν γάρ, ὦ φίλε, περὶ τῶν ἐχόντων τὰ ἐναντία ἐλέγο-
μεν, ἐπονομάζοντες αὐτὰ τῇ ἐκείνων ἐπωνυμίᾳ, νῦν δὲ περὶ
ἐκείνων αὐτῶν ὧν ἐνόντων ἔχει τὴν ἐπωνυμίαν τὰ ὀνομαζό-
μενα· αὐτὰ δ᾽ ἐκεῖνα οὐκ ἄν ποτέ φαμεν ἐθελῆσαι γένεσιν c
ἀλλήλων δέξασθαι. καὶ ἅμα βλέψας πρὸς τὸν Κέβητα
εἶπεν, ἆρα μή που, ὦ Κέβης, ἔφη, καὶ σέ τι τούτων
ἐτάραξεν ὧν ὅδε εἶπεν;

ἀνδρικῶς: like a man, in a manly way, 1
ἀπο-μνημονεύω: recount, recall, 1
βλέπτω: to look at, see, 3
γένεσις, -εως, ἡ: coming-to-be, generation, 16
δια-φέρω: to carry over; differ, surpass, 8
ἔν-ειμι: to be in or within, 8
ἐν-νοέω: to have in mind, notice, consider, 18
ἐπ-ονομάζω: to name after, 3
ἐπωνυμία, ἡ: a nickname, surname, 5
κεφαλή, ἡ: the head, 6
ὀνομάζω: to name, call by name, 6
παρα-βάλλω: to cast or put to one side, 1
πρᾶγμα, -ατος τό: deed, act; matter, affair 18
ταράττω: to trouble, stir, agitate, 6
φίλος -η -ον: dear, friendly; *noun* friend, kin 8
φύσις, -εως, ἡ: nature, character; form, 11

b1 **ἀνδρικῶς...ἀπεμνημόνευκας**: 2s pf.
τὸ διαφέρον: *the difference*; ‘ the differing thing’
2 **τοῦ τε νῦν λεγομένου καὶ τοῦ πότε (λεγομένου)**: *between…*; gen. of comparison with διαφέρον
4 **ἑαυτῷ**: *to itself*; dat. of special adjective, the following ἐναντίον, a predicate
5 **ἄν...γένοιτο**: *could become*; potential opt.
οὔτε τὸ ἐν ἡμῖν...φύσει: *either that in us or that in nature*; referring to τὸ ἐναντίον
6 **τῶν ἐχόντων τὰ ἐναντία**: *things possessing the oppositesa*
7 **τῇ...ἐπωνυμίᾳ**: *by…*; dat. of means
2 **νῦν δὲ περὶ...ἐνόντων...ὀνομαζόμενα**: *but now (we are talking) about those very things, of which, being in (them), the things named have the name*; pple ἔν-ειμι
c1 **αὐτὰ δὲ ἐκεῖνα…δέξασθαι**: *we say that those very things would not ever tend to accept a coming-to-be from one another*; ἄν...ἐθελῆσαι, ‘would tend,’ aor, inf., in is equivalent to a potential opt. in direct disc. (see 102d6 for meaning), ἀλλήλων is a gen. of source
3 **μὴ...**: introduces a question expecting a ‘no’ response (e.g. ‘did…not…,did it?)
καὶ σέ: *you also, you too*
τι τούτων: nom. subj.
4 **ὧν...**: *which*; ἅ, acc. pl. relative pronoun attracted into the gen. of the antecedent τούτων; ὅδε refers to Socrates

οὐδ᾽ αὖ, ἔφη ὁ Κέβης, οὕτως ἔχω· καίτοι οὔτι λέγω ὡς οὐ πολλά με ταράττει.

συνωμολογήκαμεν ἄρα, ἦ δ᾽ ὅς, ἁπλῶς τοῦτο, μηδέποτε ἐναντίον ἑαυτῷ τὸ ἐναντίον ἔσεσθαι.

παντάπασιν, ἔφη.

ἔτι δή μοι καὶ τόδε σκέψαι, ἔφη, εἰ ἄρα συνομολογήσεις. θερμόν τι καλεῖς καὶ ψυχρόν;

ἔγωγε.

ἆρ᾽ ὅπερ χιόνα καὶ πῦρ;

d μὰ Δί᾽ οὐκ ἔγωγε.

ἀλλ᾽ ἕτερόν τι πυρὸς τὸ θερμὸν καὶ ἕτερόν τι χιόνος τὸ ψυχρόν;

ἁπλῶς: singly, plainly, absolutely, 2
Ζεύς, ὁ: Zeus, 11
θερμός, -ή, -όν: hot, warm; subst. heat, 11
καίτοι: and yet, and indeed, and further, 8
μά: by…(in oaths,), 3
μηδέ-ποτε: not ever, never, 8
οὔ-τις, οὔ-τι: no one, not a thing, nothing, 1
παντά-πασι: all in all, absolutely 15
πῦρ, πυρός, τό: fire, 14
σκέπτομαι: look at, examine, consider, 9
συν-ομολογέω: to agree with, say the same, 4
ταράττω: to trouble, stir, agitate, 6
χιών, χιόνος, ἡ: snow, 7
ψυχρός, -ά, -όν: cold, chill, frigid, 10

5 **αὖ**: *again*; i.e. not as before
οὕτως ἔχω: see p. 7
οὔτι: *not at all*; inner acc.
6 **ὡς**: *that*…; neut. pl. πολλά is subject
7 **συνωμολογήκαμεν**: pf.
ἦ δ᾽ὅς: see note on pg. 9
μηδέποτε...ἔσεσθαι: *that…*; in apposition to τοῦτο, fut. inf. εἰμί
10 **ἔτι δή**: *still then…*; δή is inferential
μοι: *please*; 'for me,' an ethical dative (S 1486)
σκέψαι: aor. mid. sg. imperative
11 **καλεῖς**: *you call (x) (y)*; governs a double acc.
13 **ἄρ(α) ὅπερ (καλεῖς)**: *the very thing which (you call)…?*; or 'just as…' supply verb
d1 **Δί(α)**: *Zeus*; acc. sg.
2 **πυρὸς, χιόντος**: *from…*; both are gen. of comparison following ἕτερον, 'different'

ναί.

ἀλλὰ τόδε γ' οἶμαι δοκεῖ σοι, οὐδέποτε χιόνα γ' οὖσαν 5
δεξαμένην τὸ θερμόν, ὥσπερ ἐν τοῖς πρόσθεν ἐλέγομεν,
ἔτι ἔσεσθαι ὅπερ ἦν, χιόνα καὶ θερμόν, ἀλλὰ προσιόντος
τοῦ θερμοῦ ἢ ὑπεκχωρήσειν αὐτῷ ἢ ἀπολεῖσθαι.

πάνυ γε.

καὶ τὸ πῦρ γε αὖ προσιόντος τοῦ ψυχροῦ αὐτῷ ἢ 10
ὑπεξιέναι ἢ ἀπολεῖσθαι, οὐ μέντοι ποτὲ τολμήσειν δεξά-
μενον τὴν ψυχρότητα ἔτι εἶναι ὅπερ ἦν, πῦρ καὶ ψυχρόν.

ἀληθῆ, ἔφη, λέγεις. **e**

ἔστιν ἄρα, ἦ δ' ὅς, περὶ ἔνια τῶν τοιούτων, ὥστε μὴ
μόνον αὐτὸ τὸ εἶδος ἀξιοῦσθαι τοῦ αὐτοῦ ὀνόματος εἰς τὸν

ἀξιόω: to think worthy of, deem right (gen) 3
εἶδος, -εος, τό: form, shape, figure, 17
ἔνιοι, -αι, -α: some, 7
θερμός, -ή, -όν: hot, warm; *subst*. heat, 11
ναί: yes, yea, 15
ὄνομα, -ατος, τό: name, 7
οὐδέ-ποτε: not ever, never, 11
προσ-έρχομαι: to come or go to, approach, 4
πρόσθεν: before, 10
πῦρ, πυρός, τό: fire, 14
τολμάω: to dare, undertake, endure, 2
ὑπ-εκ-χωρέω: to withdraw, 4
ὑπ-εξ-έρχομαι: to withdraw gradually, 2
χιών, χιόνος, ἡ: snow, 7
ψυχρός, -ά, -όν: cold, chill, frigid, 10
ψυχρότης, ὁ: coldness, cold, 1

5 **ἀλλὰ...γε**: *but this*...; or 'well,' γε emphasizes the preceding noun
οἶμαι: οἴομαι, parenthetical
οὐδέποτε...θερμόν: *(namely) that snow, (while) being (snow), (after) accepting heat—just as we said in the previous conversation —will not longer be the very thing it was*; γε + pple suggests that the main clause is valid only *insofar as* the participle is value (GP 143)
7 **χιόνα καὶ θερμόν**: in apposition
προσιόντος...θερμοῦ: gen. abs., pple προσέρχομαι
8 **ὑπεκχωρήσειν, ἀπολεῖσθαι**: χιόνα is acc. subject; both fut. infs. ἀπόλλυμι
9 **πάνυ γε**: *quite so, quite indeed*
10 **καὶ...γε**: *and*...; always emphasizing the intervening words
προσιόντος...ψυχροῦ: gen. abs.
αὐτῷ: dat. of compound in the gen. abs.
11 **ὑπεξιέναι...τολμήσειν...εἶναι**: supply verb δοκεῖ σοι and acc. subj. τὸ πῦρ from a bove; fut. ὑπεξέρχομαι
δεξάμενον: *(after) accepting*...; modifies missing τὸ πῦρ, parallel to lines 5-7
e2 **ἔστιν ἄρα...**: *it is the case then*...
ὥστε...: *so that*…; acc. + inf., result clause
μὴ μόνον...ἀλλὰ καὶ: *not only*...*but also*
3 **ἀξιοῦσθαι**: *is thought worthy of*; or 'is deemed worthy of…' + gen.
αὐτοῦ: reflexive (ἑαυτοῦ)
εἰς τὸν ἀεὶ χρόνον: *for everylasting time*

ἀεὶ χρόνον, ἀλλὰ καὶ ἄλλο τι ὃ ἔστι μὲν οὐκ ἐκεῖνο, ἔχει δὲ τὴν ἐκείνου μορφὴν ἀεί, ὅτανπερ ᾖ. ἔτι δὲ ἐν τῷδε ἴσως ἔσται σαφέστερον ὃ λέγω· τὸ γὰρ περιττὸν ἀεί που δεῖ τούτου τοῦ ὀνόματος τυγχάνειν ὅπερ νῦν λέγομεν· ἢ οὔ;

πάνυ γε.

ἆρα μόνον τῶν ὄντων—τοῦτο γὰρ ἐρωτῶ—ἢ καὶ ἄλλο τι ὃ ἔστι μὲν οὐχ ὅπερ τὸ περιττόν, ὅμως δὲ δεῖ αὐτὸ μετὰ τοῦ ἑαυτοῦ ὀνόματος καὶ τοῦτο καλεῖν ἀεὶ διὰ τὸ οὕτω πεφυκέναι ὥστε τοῦ περιττοῦ μηδέποτε ἀπολείπεσθαι; λέγω δὲ αὐτὸ εἶναι οἷον καὶ ἡ τριὰς πέπονθε καὶ ἄλλα πολλά. σκόπει δὲ περὶ τῆς τριάδος. ἆρα οὐ δοκεῖ σοι τῷ τε αὑτῆς ὀνόματι ἀεὶ προσαγορευτέα εἶναι καὶ τῷ τοῦ περιττοῦ, ὄντος

ἀπο-λείπω: leave behind, abandon, forsake, 7
ἐρωτάω: to ask, inquire, question, 10
ἴσως: perhaps, probably; equally, likely, 19
μηδέ-ποτε: not ever, never, 8
μορφή, ἡ: form, shape, 2
ὅμως: nevertheless, however, yet, 13
ὄνομα, -ατος, τό: name, 7
ὅτανπερ: whenever, 2
περιττός -ή -όν: odd, remarkable, 15
προσ-αγορευτέος, -α, -ον: to be called, 1
σαφής, -ές: clear, distinct; certain, reliable, 16
τριάς, τριάδος, ἡ: three, triad, 7
φύω: to bring forth, beget, engender; am by nature, 14

4 **ἀλλὰ καὶ**: *but also…*
ἄλλο τι (ἀξιοῦσθαι...ὀνόματος): *something else…*; supply 'is thought worthy of the its name…' from the previous clause
5 **ᾖ**: *it exists*; 3s pres. subj. εἰμί in an indefinite temporal clause
ἔτι δὲ: *and furthermore, and in addtion*
ἐν τῷδε: *in the following*; 'in this here'
6 **ἔσται**: *it…*; impersonal, fut. εἰμί
7 **τυγχάνειν**: + partitive gen., see p. 20
8 **πάνυ γε**: *quite so, quite indeed*; affirmative
9 **μόνον τῶν ὄντων (δεῖ...ὀνόματος τυγχάνειν)**: *(is it necessary that) this alone of the things which are (always attains this name)…*; supply clause from above
καὶ...: *(is there) also…*

104a1 **ὅπερ (ἐστίν)...**: *the very thing which …(is)*; add linking verb
αὐτὸ...καὶ τοῦτο καλεῖν: *to call it this also*; double acc., αὐτὸ refers to ἄλλο τι, τοῦτο refers to τὸ περιττόν
2 **τὸ...πεφυκέναι**: *being (naturally)*; pf. φύω
3 **τοῦ περιττοῦ**: *from…*; gen. of separation
4 **οἷον**: *the sort which…*
πέπονθε: 3s pf. πάσχω
5 **σκόπει**: σκόπε-ε; sg. imperative
τῷ...ὀνόματι: *by…*; dat. of means
αὑτῆς: ἑαυτῆς
6 **προσαγορευτέα εἶναι**: *they must be addressed*; 'it is to be addressed' a verbal adj. + εἰμί expresses necessity or obligation
τῷ (ὀνόματι) τοῦ περιττοῦ: *by…*; means

Philosophical Vocabulary: τὸ περιττόν *the odd* (*oddness*) τὸ ἄρτιον *the even* (*evenness*)

Another everyday word that Plato employs in a technical sense is δέχομαι ('accept,' 'admit'). Socrates will frequently say, for example, that three *accepts*, δέχεται, the form of the odd but does not *accept*, δέχεται, the even. This usage starts in 102d8 and continues in what follows.

οὐχ ὅπερ τῆς τριάδος; ἀλλ᾽ ὅμως οὕτως πέφυκε καὶ ἡ τριὰς καὶ ἡ πεμπτὰς καὶ ὁ ἥμισυς τοῦ ἀριθμοῦ ἅπας, ὥστε οὐκ ὢν ὅπερ τὸ περιττὸν ἀεὶ ἕκαστος αὐτῶν ἐστι περιττός· **b** *καὶ αὖ τὰ δύο καὶ τὰ τέτταρα καὶ ἅπας ὁ ἕτερος αὖ στίχος τοῦ ἀριθμοῦ οὐκ ὢν ὅπερ τὸ ἄρτιον ὅμως ἕκαστος αὐτῶν ἄρτιός ἐστιν ἀεί· συγχωρεῖς ἢ οὔ;*

πῶς γὰρ οὔκ; ἔφη. 5

ὃ τοίνυν, ἔφη, βούλομαι δηλῶσαι, ἄθρει. ἔστιν δὲ τόδε, ὅτι φαίνεται οὐ μόνον ἐκεῖνα τὰ ἐναντία ἄλληλα οὐ δεχόμενα, ἀλλὰ καὶ ὅσα οὐκ ὄντ᾽ ἀλλήλοις ἐναντία ἔχει ἀεὶ τἀναντία, οὐδὲ ταῦτα ἔοικε δεχομένοις ἐκείνην τὴν ἰδέαν ἢ ἂν τῇ ἐν αὐτοῖς οὔσῃ ἐναντία ᾖ, ἀλλ᾽ ἐπιούσης αὐτῆς ἤτοι 10

ἀθρέω: to gaze at, observe, 1
ἅπας, ἅπασα, ἅπαν: every, quite all, 14
ἀριθμός, ὁ: number, amount, quantity, 3
ἄρτιος, -α, -ον: even; exactly fitted, proper, 14
δηλόω: to make clear, show, reveal, 3
ἐπ-έρχομαι: to come upon, approach, 8
ἥμισυς, -εια, -υ: half, 5
ἤτοι: now surely, truly, 4
ἰδέα, ἡ: idea, character; appearance, form, 8
ὅμως: nevertheless, however, yet, 13
πεμπτάς, -άδος, ἡ: five, pentad, 1
περιττός -ή -όν: odd, remarkable, 15
στίχος, ὁ: series, line, row, 1
συγ-χωρέω: agree, yield, come together, 13
τέτταρες, -α: four, 2
τριάς, τριάδος, ἡ: three, triad, 7
φύω: to bring forth, beget, engender; am by nature, 14

7 **ὄντος οὐχ ὅπερ τὴς τριάδος**: *(although) not being what three is*; one expects ὅπερ ἐστί ἡ τριάς; nom. is attracted into the gen.
πέφυκε: *is naturally*; pf. φύω
οὕτως...ὥστε: *so…that*; correlatives

b1 **οὐκ ὢν ὅπερ (ἐστί) τὸ περιττόν**: *although not being…*; concessive; see a7 above

2 **τὰ δύο, τὰ τέτταρα**: *two*, *four*; as often, do not translate with the article

3 **οὐκ ὢν ὅπερ (ἐστί) τὸ ἄρτιον**: see b1

5 **πῶς γὰρ οὔ**: *how could (I) not?*; ‘yes for how not?’ γὰρ offer assent

6 **ὃ**: *(that) which…*; missing antecedent is object of ἄθρει
ἄθρει: ἄθρε-ε, sg. imperative

7 **ὅτι**: *(namely) that…*
οὐ μόνον...ἀλλὰ καὶ: *not only…but also*

8 **δεχόμενα**: *accepting, admitting*, ἄλληλα is an object
οὐκ ὄντ(α)...ἐναντία: *although…*; pple εἰμί in concessive in sense
ἔχει: i.e. contain
τἀναντία: τὰ ἐναντία

9 **οὐδὲ...τὴν ἰδέαν**: *nor are these like (those) accepting that form*
ἢ ἂν...ἐναντία ᾖ: *whichever is…*; ἄν + 3s subj. εἰμί in an indefinite relative clause
τῇ...οὔσῃ: i.e. τῇ ἰδέᾳ; pple. εἰμί

10 **ἐπιούσης αὐτῆς**: *(when) it is approaching*; gen. abs.
ἤτοι..ἤ...: *either, you know,…or…*; ἤτοι opens a disjunction where the first choice is more probable (GP 553)

c *ἀπολλύμενα ἢ ὑπεκχωροῦντα. ἢ οὐ φήσομεν τὰ τρία καὶ ἀπολεῖσθαι πρότερον καὶ ἄλλο ὁτιοῦν πείσεσθαι, πρὶν ὑπομεῖναι ἔτι τρία ὄντα ἄρτια γενέσθαι;*

πάνυ μὲν οὖν, ἔφη ὁ Κέβης.

οὐδὲ μήν, ἦ δ᾽ ὅς, ἐναντίον γέ ἐστι δυὰς τριάδι.

οὐ γὰρ οὖν.

οὐκ ἄρα μόνον τὰ εἴδη τὰ ἐναντία οὐχ ὑπομένει ἐπιόντα ἄλληλα, ἀλλὰ καὶ ἄλλ᾽ ἄττα τὰ ἐναντία οὐχ ὑπομένει ἐπιόντα.

ἀληθέστατα, ἔφη, λέγεις.

βούλει οὖν, ἦ δ᾽ ὅς, ἐὰν οἷοί τ᾽ ὦμεν, ὁρισώμεθα ὁποῖα ταῦτά ἐστιν;

ἀπο-λείπω: leave behind, abandon, forsake, 7
ἄρτιος, -α, -ον: even; exactly fitted, proper, 14
εἶδος, -εος, τό: form, shape, figure, 17
ἐπ-έρχομαι: to come upon, approach, 8
δυάς, δυάδος, ἡ: two; pair, dyad, 3
ὁποῖος, -α, -ον: of what sort or kind, 2
ὁρίζω: to define, mark out, limit, 3
ὅστισ-οῦν, ἥτισουν, ὅτι-οῦν: whosoever, 11
τρεῖς, τρία: three, 9
τριάς, τριάδος, ἡ: three, triad, 7
ὑπ-εκ-χωρέω: to withdraw, 4
ὑπο-μένω: to abide, stay firm; endure, 8

c1 **ἢ οὐ φήσομεν**: *or will we not agree that…*; anticipating a 'yes' response
καὶ...καὶ: *both…and*
2 **ἀπολεῖσθαι**: fut. ἀπόλλυμι
πρότερον: adverbial acc.
πείσεσθαι: fut. πάσχω
ὑπομεῖναι...γενέσθαι: *abide to become*; ; aor. inf. ὑπομένω + complementary inf.
3 **ἔτι τρία ὄντα**: *while…*; circumstantial pple
4 **πάνυ μὲν οὖν**: *quite certainly indeed*; μὲν οὖν is a strong assent
5 **οὐδὲ μήν**: *and certainly…not*
ἦ δ᾽ὅς: see note on p. 9
ἐναντίον γε: the predicate governs a dat. of special adj. , δυὰς is subject
6 **οὐ γὰρ οὖν**: *for in fact it is not*; (S 2958) (GP 447), compare 93e6
7 **οὐκ...μόνον...ἀλλὰ καὶ**: *not only…but also*
τὰ εἴδη τὰ ἐναντία: *opposite forms*
ὑπομένει ἐπιόντα: *abide…*; ὑπομένω governs a complementary pple here or, as in c2, a complementary inf.; ἐπέρχομαι
8 **τὰ ἐναντία**: acc. object, ἄλλ(α) ἄττα is subject (ἄττα is neuter pl. of τις)
11 **βούλει...ὁρισώμεθα**: *do you wish to define*; 2s mid. βούλομαι often accompanies a deliberative subj., here aor., conflating two questions: 'what do you want?' and 'are we to define…?'; see 70b6, 79a6
οἷός τε ὦμεν: οἷος τε εἰμί, 'I am the sort to' is a common idiom for 'I am able'; here with 1p pres. subj. εἰμί

πάνυ γε.

ἆρ᾽ οὖν, ἔφη, ὦ Κέβης, τάδε εἴη ἄν, ἃ ὅτι ἂν κατάσχῃ d
μὴ μόνον ἀναγκάζει τὴν αὑτοῦ ἰδέαν αὐτὸ ἴσχειν, ἀλλὰ καὶ
ἐναντίου αὐτῷ ἀεί τινος;

πῶς λέγεις;

ὥσπερ ἄρτι ἐλέγομεν. οἶσθα γὰρ δήπου ὅτι ἃ ἂν ἡ τῶν 5
τριῶν ἰδέα κατάσχῃ, ἀνάγκη αὐτοῖς οὐ μόνον τρισὶν εἶναι
ἀλλὰ καὶ περιττοῖς.

πάνυ γε.

ἐπὶ τὸ τοιοῦτον δή, φαμέν, ἡ ἐναντία ἰδέα ἐκείνῃ τῇ
μορφῇ ἣ ἂν τοῦτο ἀπεργάζηται οὐδέποτ᾽ ἂν ἔλθοι. 10

οὐ γάρ.

εἰργάζετο δέ γε ἡ περιττή;

ἀναγκάζω: to force, compel, require, 10
ἀπ-εργάζομαι: produce, complete, finish, 2
ἄρτι: just, exactly, 4
δή-που: perhaps, I suppose; of course, 8
ἐργάζομαι: to work, labor, toil, 4
ἰδέα, ἡ: idea, character; appearance, form, 8
ἴσχω: to have, hold back, check, restrain, 3
κατ-έχω: to hold fast, possess, grasp, 5
μορφή, ἡ: form, shape, 2
οὐδέ-ποτε: not ever, never, 11
περιττός -ή -όν: odd, remarkable, 15
τρεῖς, τρία: three, 9

13 **πάνυ γε**: *quite so, quite indeed*
d1 **εἴη ἄν**: *would*…; potential opt. εἰμί
ἃ...ἀναγκάζει...ἴσχειν: *(things) which compel whatever possesses (them) itself not only to have its character*; vague pronoun references, ellipsis, and nested clauses make this passage a challenge to interpret
2 **ἐναντίου...τινος (τὴν ἰδέαν)**: *but also always (the form) of some opposite to it*
4 **πῶς λέγεις**: i.e. What do you mean?
5 **οἶσθα**: 2s οἶδα, pf. with pres. sense
ἅ...κατάσχῃ: *whatever*…; ἄν + aor. subj. κατέχω in an indefinite relative clause
6 **ἀνάγκη**: *(it is) necessary*...
αὐτοῖς: *for them*; dat. of interest, the remaining datives would otherwise be accusative but all agree with αὐτοῖς
τρισὶν: predicate, dat. τρία; see note above
9 **ἐπὶ τὸ τοιοῦτον δή, φαμεν**: *then, to this sort of thing*; governed by ἔλθοι; δή is inferential
φαμεν: parenthetical, p. 6
ἐκείνῃ τῇ μορφῇ: dat. of special adjective ἐναντία
ἣ ἂν τοῦτο ἀπεργάζηται: *this (result)*; inner. acc. in an indefinite relative clause
ἂν ἔλθοι: *could*…; potential aor. opt. ἔρχομαι
11 **οὐ γὰρ**: *no indeed*; ‘no for (it could not)’
12 **εἰργάζετο**: *produced (it)*; ‘produces it (as it appears)’ impf. for a truth just realized (S 1902), a present fact that is just recognized but was true before as well
ἡ περιττή: fem. agreeing with ἡ ἰδέα

ναί.

ἐναντία δὲ ταύτῃ ἡ τοῦ ἀρτίου;

ναί.

e *ἐπὶ τὰ τρία ἄρα ἡ τοῦ ἀρτίου ἰδέα οὐδέποτε ἥξει.*

οὐ δῆτα.

ἄμοιρα δὴ τοῦ ἀρτίου τὰ τρία.

ἄμοιρα.

5 *ἀνάρτιος ἄρα ἡ τριάς.*

ναί.

ὃ τοίνυν ἔλεγον ὁρίσασθαι, ποῖα οὐκ ἐναντία τινὶ ὄντα ὅμως οὐ δέχεται αὐτό, τὸ ἐναντίον—οἷον νῦν ἡ τριὰς τῷ ἀρτίῳ οὐκ οὖσα ἐναντία οὐδέν τι μᾶλλον αὐτὸ δέχεται, τὸ

ἄ-μοιρος, -ον: without a share in (gen.), 3
ἀν-άρτιος, -ον: uneven, 4
ἄρτιος, -α, -ον: even; exactly fitted, proper, 14
δῆτα: certainly, to be sure, of course, 5
ἥκω: to have come, be present, 14
ἰδέα, ἡ: idea, character; appearance, form, 8
ναί: yes, yea, 15
ὅμως: nevertheless, however, yet, 13
ὁρίζω: to define, mark out, limit, 3
οὐδέ-ποτε: not ever, never, 11
τρεῖς, τρία: three, 9
τριάς, τριάδος, ἡ: three, triad, 7

14 **ἐναντία δὲ ταύτῃ (μορφῇ) ἡ τοῦ ἀρτίου (ἰδέα ἐστί)**: supply a linking verb and fem. nouns understood from d9-10
e1 **ἐπὶ...**: *to*…
ἥξει: fut. ἥκω
3 **ἄμοιρα (ἐστί)**: predicate, supply a linking verb; δή is inferential: 'then'
7 **ὃ...ἔλεγον ὁρίσασθαι**: *as for what I said to define*; 'in respect to (that) which…' acc. of respect, see 104c12 (βούλει…ὁρισώμεθα ὁποῖα ταὐτά ἐστιν;)
ποῖα: *what things*…; subject of 3s verb
ἐναντία τινὶ ὄντα: predicate and pple εἰμί modifying ποῖα
τινὶ: *to something*; indefinite
8 **δέχεται**: see box on p. 174
τὸ ἐναντίον: in apposition to αὐτό, the object of δέχεται
οἷον: *for example*; 'in respect to such,' acc. of respect
τῷ ἀρτίῳ...οὖσα ἐναντία: although…; the pple is concessive in sense
9 **οὐδέν τι μᾶλλον**: *not at all*; acc. of extent by degree
αὐτὸ: i.e. τὸ ἄρτιον

γὰρ ἐναντίον ἀεὶ αὐτῷ ἐπιφέρει, καὶ ἡ δυὰς τῷ περιττῷ καὶ τὸ πῦρ τῷ ψυχρῷ καὶ ἄλλα πάμπολλα—ἀλλ᾽ ὅρα δὴ εἰ οὕτως ὁρίζῃ, μὴ μόνον τὸ ἐναντίον τὸ ἐναντίον μὴ δέχεσθαι, ἀλλὰ καὶ ἐκεῖνο, ὃ ἂν ἐπιφέρῃ τι ἐναντίον ἐκείνῳ, ἐφ᾽ ὅτι ἂν αὐτὸ ἴῃ, αὐτὸ τὸ ἐπιφέρον τὴν τοῦ ἐπιφερομένου ἐναντιότητα μηδέποτε δέξασθαι. πάλιν δὲ ἀναμιμνήσκου· οὐ γὰρ χεῖρον πολλάκις ἀκούειν. τὰ πέντε τὴν τοῦ ἀρτίου οὐ δέξεται, οὐδὲ τὰ δέκα τὴν τοῦ περιττοῦ, τὸ διπλάσιον. τοῦτο μὲν οὖν καὶ αὐτὸ ἄλλῳ ἐναντίον, ὅμως δὲ τὴν τοῦ περιττοῦ οὐ δέξεται· οὐδὲ δὴ τὸ ἡμιόλιον οὐδὲ τἆλλα τὰ τοιαῦτα, τὸ ἥμισυ, τὴν τοῦ ὅλου, καὶ τριτημόριον αὖ καὶ πάντα τὰ τοιαῦτα, εἴπερ ἕπῃ τε καὶ συνδοκεῖ σοι οὕτως.

ἀνα-μιμνήσκω: remind, recall (acc. gen.) 16
ἄρτιος, -α, -ον: even; exactly fitted, proper, 14
δέκα: ten, 3
δι-πλάσιος, -α, -ον: double, two-fold, 1
δυάς, δυάδος, ἡ: two; pair, dyad, 3
ἐναντιότης, ὁ: opposite(ness) contrariety, 1
ἐπι-φέρω: to carry up; attack, rush on, 6
ἕπομαι: to follow, accompany, escort, 9
ἡμι-όλιος, -η, -ον: one and a half, 1
ἥμισυς, -εια, -υ: one-half, 5
μηδέ-ποτε: not ever, never, 8
ὅλος, -η, -ον: whole, entire, complete, 9
ὅμως: nevertheless, however, yet, 13
ὁρίζω: to define, mark out, limit, 3
πάμ-πολυς, -πόλλη, -πολυ: very many, 1
πέντε: five, 1
περιττός -ή -όν: odd, remarkable, 15
πολλάκις: many times, often, frequently, 14
πῦρ, πυρός, τό: fire, 14
συν-δοκέω: to seem good also, 6
τριτ-ημόριος, -ον: a third part, a third, 1
χείρων, -ον, (-οντος): worse, inferior, 5
ψυχρός, -ά, -όν: cold, chill, frigid, 10

10 **ἐπιφέρει**: *for it brings the opposite to it*; αὐτῷ (i.e. τὸ ἄρτιον) is dat. of compound verb; the subject is still ἡ τριάς from e8
ἡ δυὰς (ἐπιφέρει) τῷ περιττῷ καὶ τὸ πῦρ (ἐπιφέρει)...: ellipsis, supply the verbs
105a1 **ὅρα δὴ**: *just see…!*; ὅρα-ε imperative
2 **ὁρίζῃ**: ὁρίζε(σ)αι, 2s pres. id.
μὴ μόνον...ἀλλὰ καὶ: *not only…but also*
3 **ἐκεῖνο, ὃ ἂν...δέξασθαι**: *that that which brings some opposite to that, to which it itself approaches, (i.e.) the thing itself bringing, never accepts the opposite of the thing being brought*; αὐτὸ τὸ ἐπιφέρον is in apposition to ἐκεῖνο acc. subj.
4 **ἂν ἴῃ**: 3s subj. ἔρχομαι, indefinite relative
5 **ἀναμιμνήσκου**: ἀναμιμνήσκε(σ)ο, pres. mid. sg. imperative
6 **οὐ χεῖρον (ἐστίν)**: *we may as well*; litotes, 'it is not bad' + inf.
τὴν (ἰδέαν): *the character*
7 **τὸ διπλάσιον**: in apposition to τὰ δέκα
8 **τοῦτο..(ἐστίν)...ἄλλῳ ἐναντίον**: *then, this (the double) is itself also opposite to something else*; τοῦτο refers to διπλάσιον
τὴν (ἰδέαν): *the character*
b1 **οὐδὲ δὴ...**: *then neither one-and-a-half nor other such things, the half, (accept) the (character) of the whole and again one-third and all such other things*; i.e. mixed fractions
3 **ἕπῃ**: *you follow (me)*; i.e. you understand me; ἕπε(σ)αι, 2s pres. mid. ἕπομαι

πάνυ σφόδρα καὶ συνδοκεῖ, ἔφη, καὶ ἕπομαι.

πάλιν δή μοι, ἔφη, ἐξ ἀρχῆς λέγε. καὶ μή μοι ὃ ἂν ἐρωτῶ ἀποκρίνου, ἀλλὰ μιμούμενος ἐμέ. λέγω δὴ παρ᾽ ἣν τὸ πρῶτον ἔλεγον ἀπόκρισιν, τὴν ἀσφαλῆ ἐκείνην, ἐκ τῶν νῦν λεγομένων ἄλλην ὁρῶν ἀσφάλειαν. εἰ γὰρ ἔροιό με ᾧ ἂν τί ἐν τῷ σώματι ἐγγένηται θερμὸν ἔσται, οὐ τὴν c *ἀσφαλῆ σοι ἐρῶ ἀπόκρισιν ἐκείνην τὴν ἀμαθῆ, ὅτι ᾧ ἂν θερμότης, ἀλλὰ κομψοτέραν ἐκ τῶν νῦν, ὅτι ᾧ ἂν πῦρ· οὐδὲ ἂν ἔρῃ ᾧ ἂν σώματι τί ἐγγένηται νοσήσει, οὐκ ἐρῶ ὅτι ᾧ ἂν νόσος, ἀλλ᾽ ᾧ ἂν πυρετός· οὐδ᾽ ᾧ ἂν ἀριθμῷ τί ἐγγένηται περιττὸς ἔσται, οὐκ ἐρῶ ᾧ ἂν περιττότης, ἀλλ᾽ ᾧ ἂν μονάς, καὶ τἆλλα οὕτως. ἀλλ᾽ ὅρα εἰ ἤδη ἱκανῶς οἶσθ᾽ ὅτι βούλομαι.*

ἀ-μαθής, -ές: unlearned, ignorant, stupid, 1
ἀπο-κρίνομαι: to answer, reply, 13
ἀπο-κρισις, ἡ: reply, answer, 4
ἀριθμός, ὁ: number, amount, quantity, 3
ἀρχή, ἡ: a beginning; rule, office, 8
ἀ-σφάλεια, ἡ: steadfastness, assurance, 1
ἀ-σφαλής, -ές: safe, secure, not liable to fall 6
ἐγ-γίγνομαι: to come in be inborn, innate, happen,; *impers*. to be possible, 6
ἕπομαι: to follow, accompany, escort, 9
ἔρομαι: to ask, enquire, question, 12
ἐρωτάω: to ask, inquire, question, 10
θερμός, -ή, -όν: hot, warm; subst. heat, 11
θερμότης, -τητος, ἡ: heat, 3
κομψός, -ή, -όν: refined, clever, ingenious, 1
μιμέομαι: imitate, represent, portray, 1
μονάς, μονάδος ἡ: number one, monad; unit, 1
νοσέω: to be sick, ill, 2
νόσος, ὁ: illness, sickness, 5
περιττός -ή -όν: odd, remarkable, 15
περιττότης, -ητος, ἡ: oddness, 1
πῦρ, πυρός, τό: fire, 14
πυρετός, ὁ: fire; fiery heat, fever, 1
συν-δοκέω: to seem good also, 6
σφόδρα: very much, exceedingly, 18

4 **ἕπομαι**: i.e. understand
μή...ἀποκρινε(σ)ο: neg. mid. imperative
6 **ἀλλὰ μιμούμενος ἐμέ**: *but by*…; pple is causal in sense
λέγω δὴ...: *I am speaking now beyond what response I spoke first, that safe (response), now seeing another safe refuge from the things being said*
8 **εἰ...ἔροι(σ)ο...ἐρῶ**: *if you should*…; 2s pres. opt. + fut. λέγω in a mixed condition
9 **ᾧ ἂν...ἐγγένηται...εσται**: *what (τί), in whichever (part) in the body (it) comes to be, will be hot*; confusing word order: indirect question (τί...θερμὸν ἔσται) with an indefinite relative modifying τί
τὴν ἀσφαλῆ..ἀπόκρισιν...ἀμαθῆ: *that safe (but) ignorant response*
c1 **ὅτι ᾧ ἂν θερμότης (ἐγγένηται)**: *(namely) that in whichever (part) heat (comes to be)*; the reply repeats vocabulary in the question
2 **κομψοτέραν (ἀποκρισιν)**: comparative adj., supply acc. fem. sg. ἀπόκρισιν from above
ἐκ τῶν νῦν (λεγόμενων): add pass. pple
ὅτι ᾧ ἂν πῦρ: see c1
3 **ἂν ἔρῃ**: *if you ask;* εἰ ἄν + 2s mid. subj.
ᾧ ἂν...νοσήσει: for translation, see b9
ὅτι ᾧ ἂν νόσος (ἐγγένηται): see c1
4 **ᾧ ἂν...ἀριθμῷ**: for translation, see b9
5 **ᾧ ἂν περττότης (ἐγγένηται)**: see c1
7 **οἶσθ(α)**: 2s οἶδα, pf. with pres. sense

ἀλλὰ πάνυ ἱκανῶς, ἔφη.

ἀποκρίνου δή, ἦ δ᾽ ὅς, ᾧ ἂν τί ἐγγένηται σώματι ζῶν ἔσται;

ᾧ ἂν ψυχή, ἔφη.

οὐκοῦν ἀεὶ τοῦτο οὕτως ἔχει; **d**

πῶς γὰρ οὐχί; ἦ δ᾽ ὅς.

ψυχὴ ἄρα ὅτι ἂν αὐτὴ κατάσχῃ, ἀεὶ ἥκει ἐπ᾽ ἐκεῖνο φέρουσα ζωήν;

ἥκει μέντοι, ἔφη.

πότερον δ᾽ ἔστι τι ζωῇ ἐναντίον ἢ οὐδέν;

ἔστιν, ἔφη.

τί;

θάνατος.

ἀπο-κρίνομαι: to answer, reply, 13
ἐγ-γίγνομαι: to be inborn, innate; *impers*. to be possible, 6
ζωή, ἡ: living, way of life, 5
ἥκω: to have come, be present, 14
κατ-έχω: to hold fast, possess, grasp, 5

8 **ἀλλὰ πάνυ ἱκανῶς**: *well, quite…* (GP 19)
9 **ἀποκρίνε(σ)ο**: 2s mid. imperative
δή: *just, now*
ἦ δ᾽ὅς: see note on pg. 9
ᾧ ἂν...ἐγγένηται...εσται: *what (τί), in whichever (part) in the body (it) comes to be, will be living*; confusing word order: indirect question (τί...ζῶν ἔσται) with an indefinite relative modifying τί; see c9
11 **ᾧ ἂν ψυχή (ἐγγένηται)**: *in whichever the soul comes to be*
d1 **οὕτως ἔχει**: see p. 7
2 **πῶς γὰρ οὐχί**: *how could (it) not?*; 'yes for how not?' γὰρ offers assent
3 **ὅτι ἂν...κατάσχῃ**: *whatever (the soul) itself) possesses*; aor. subj. κατέχω
ἐπὶ ἐκεῖνο: *to that one*; neut. sg. referring to ὅτι..κατασχῇ
5 **μέντοι**: *certainly*; affirmative
6 **ζωῇ**: dat. sg. with special adj. ἐναντίον

οὐκοῦν ψυχὴ τὸ ἐναντίον ᾧ αὐτὴ ἐπιφέρει ἀεὶ οὐ μή ποτε δέξηται, ὡς ἐκ τῶν πρόσθεν ὡμολόγηται;

καὶ μάλα σφόδρα, ἔφη ὁ Κέβης.

τί οὖν; τὸ μὴ δεχόμενον τὴν τοῦ ἀρτίου ἰδέαν τί νυνδὴ ὠνομάζομεν;

ἀνάρτιον, ἔφη.

τὸ δὲ δίκαιον μὴ δεχόμενον καὶ ὃ ἂν μουσικὸν μὴ δέχηται;

e *ἄμουσον, ἔφη, τὸ δὲ ἄδικον.*

εἶεν· ὃ δ᾽ ἂν θάνατον μὴ δέχηται τί καλοῦμεν;

ἀθάνατον, ἔφη.

οὐκοῦν ψυχὴ οὐ δέχεται θάνατον;

οὔ.

ἀθάνατον ἄρα ψυχή.

ἄ-δικος, -ον: unrighteous, unjust, 6
ἄ-μουσος, -ον: unmusical, unrefined, rude, 1
ἀν-άρτιος, -ον: uneven, not even, 4
ἄρτιος, -α, -ον: even; exactly fitted, proper, 14
δίκαιος, -α, -ον: just, right(eous), fair, 13
ἐπι-φέρω: to carry upon; attack, rush on, 6
ἰδέα, ἡ: idea, character; appearance, form, 8
μάλα: very, very much, exceedingly, 10
μουσικός -ή -όν: musical, educated, cultured, 1
νυν-δὴ: just now, 15
ὀνομάζω: to name, call by name, 6
πρόσθεν: before, 10
σφόδρα: very much, exceedingly, 18

10 **ᾧ...ἐπιφέρει ἀεὶ**: *to that which (the soul) itself always brings*; ἐκείνῳ ὅ; acc. relative attracted into the dat. of missing antecedent (dat. of special adjective ἐναντίον); see 104e10
οὐ μὴ ποτε: *absolutely not ever*…; οὐ μή + aor. subj. expresses a strong denial (S 1804, 2755); for δέχομαι, see 174
11 **ὡς**: *as*…
ἐκ τῶν πρόσθεν (λεγόμενων): add noun
ὡμολόγηται: 3s pf. ὁμόλογέω
12 **καὶ μάλα**: *quite very*; καί is adverbial and my emphasize adverbs (S 2882, GP 318)
13 **τὸ μὴ δεχόμενον...ἰδέαν**: *the thing not accepting*...; obj. of ὠνομάζομεν
τί: *what…?*; interrogative, also acc. obj.
16 **τὸ...δέχόμενον**: *the thing not accepting*...; supply τί νυνδὴ ὠνομάζομεν
ὃ...δέχηται: *whatever*...; 'the thing which...' indefinite relative clause (ἄν + subj); add τί νυνδὴ ὠνομάζομεν
e1 **(τὸ) ἄμουσον...τὸ δὲ ἄδικον**: δέ is simply a conjunction 'and' joining the two answers
2 **εἶεν**: *well then*; a particle based on the 3p opt. form of εἰμί
ὃ...τί καλοῦμεν: *and what will we*…?; καλοῦμεν is future and governs a double acc.
6 **ψυχή**: subject, supply linking verb

ἀθάνατον.

εἶεν, ἔφη· τοῦτο μὲν δὴ ἀποδεδεῖχθαι φῶμεν; ἢ πῶς δοκεῖ; καὶ μάλα γε ἱκανῶς, ὦ Σώκρατες.

τί οὖν, ἦ δ' ὅς, ὦ Κέβης; εἰ τῷ ἀναρτίῳ ἀναγκαῖον ἦν ἀνωλέθρῳ εἶναι, ἄλλο τι τὰ τρία ἢ ἀνώλεθρα ἂν ἦν; 106

πῶς γὰρ οὔ;

οὐκοῦν εἰ καὶ τὸ ἄθερμον ἀναγκαῖον ἦν ἀνώλεθρον εἶναι, ὁπότε τις ἐπὶ χιόνα θερμὸν ἐπάγοι, ὑπεξῄει ἂν ἡ χιὼν οὖσα σῶς καὶ ἄτηκτος; οὐ γὰρ ἂν ἀπώλετό γε, οὐδ' αὖ ὑπομένουσα ἐδέξατο ἂν τὴν θερμότητα.

ἀληθῆ, ἔφη, λέγεις.

ὡς δ' αὕτως οἶμαι κἂν εἰ τὸ ἄψυκτον ἀνώλεθρον ἦν, ὁπότε ἐπὶ τὸ πῦρ ψυχρόν τι ἐπῄει, οὔποτ' ἂν ἀπεσβέννυτο

ἀ-θερμος, -ον: without heat, without warmth 1
ἀν-άρτιος, -ον: uneven, odd, 4
ἀν-ώλεθρος, -α, -ον: indestructible, 12
ἀπο-δείκνυμι: demonstrate, prove 11
ἀπο-σβέννυμι: to extinguish, quench, 1
ἄ-τηκτος, -ον: unmelted, 1
αὔτως: in the same manner, just, as it is, 2
ἄ-ψυκτος, -ον: not able to be cooled, 1
ἐπ-άγω: to bring to, 1
ἐπ-έρχομαι: to come upon, approach, 8
θερμός, -ή, -όν: hot, warm; subst. heat, 11
θερμότης, -τητος, ἡ: heat, 3
μάλα: very, very much, exceedingly, 10
ὁπότε: when, by what time, 6
οὔ-ποτε: never, 1
πῦρ, πυρός, τό: fire, 14
σῶς, ὁ, ἡ: whole, sound, safe and sound, 6
τρεῖς, τρία: three, 9
ὑπ-εξ-έρχομαι: to withdraw gradually, 2
ὑπο-μένω: to abide, stay firm; endure, 8
χιών, χιόνος, ἡ: snow, 7
ψυχρός, -ά, -όν: cold, chill, frigid, 10

8 **εἶεν**: *well then*
ἀποδεδεῖχθαι: pf. pass. inf.
φῶμεν: *are we to say…?*; deliberative subj.
9 **καὶ...γε**: *and*…; καὶ...γε emphasizes the intervening word
10 **εἰ...ἦν...ἂν ἦν**: *if…it were…, it would be*…; present contrafactual condition (εἰ + impf., impf.)
106a1 **ἄλλο τι...ἢ**: *anything other…than*
πῶς γὰρ οὐχί: *how could (it) not?*; 'yes for how not?' γὰρ offers assent
3 **εἰ...ἀναγκαῖον ἦν...ἂν ὑπεξῄει**: *if it were…, would…*; present contrafactual, εἰμί, ὑπεξέρχομαι
καὶ: *actually, in fact*; adverbial
4 **ὁπότε...ἐπέγοι**: *whenever*…; opt. ἐπάγω replaces ἄν+ subj. in an indefinite temporal clause in secondary sequence
οὖσα: fem. sg. pple εἰμί
5 **ἂν ἀπώλετο**: *could have…*; ἄν + aor. is past (unrealized) potential, ἀπόλλυμι; ἡ χιών is the subject;
6 **ἐδέξατο ἂν**: *could have*…; ἄν + aor. mid. is also past (unrealized) potential
8 **ὡς δ(ὲ) αὕτως**: *and in the same way*; i.e. ὡσαύτως
οἶμαι: οἴομαι
κἂν εἰ...ἦν...ἂν ἀπεσβέννυτο: *even if*…; καὶ ἄν, another present contrafactual condition, the initial ἄν anticipates the second and should be left untranslated
9 **ἐπῄει**: impf. ἐπέρχομαι

10 *οὐδ᾽ ἀπώλλυτο, ἀλλὰ σῶν ἂν ἀπελθὸν ᾤχετο.*

b *ἀνάγκη, ἔφη.*

οὐκοῦν καὶ ὧδε, ἔφη, ἀνάγκη περὶ τοῦ ἀθανάτου εἰπεῖν; εἰ μὲν τὸ ἀθάνατον καὶ ἀνώλεθρόν ἐστιν, ἀδύνατον ψυχῇ, ὅταν θάνατος ἐπ᾽ αὐτὴν ἴῃ, ἀπόλλυσθαι· θάνατον μὲν γὰρ
5 *δὴ ἐκ τῶν προειρημένων οὐ δέξεται οὐδ᾽ ἔσται τεθνηκυῖα, ὥσπερ τὰ τρία οὐκ ἔσται, ἔφαμεν, ἄρτιον, οὐδέ γ᾽ αὖ τὸ περιττόν, οὐδὲ δὴ πῦρ ψυχρόν, οὐδέ γε ἡ ἐν τῷ πυρὶ θερ-μότης. ‘ἀλλὰ τί κωλύει,’ φαίη ἄν τις, ‘ἄρτιον μὲν τὸ περιττὸν μὴ γίγνεσθαι ἐπιόντος τοῦ ἀρτίου, ὥσπερ ὡμολόγη-*
c *ται, ἀπολομένου δὲ αὐτοῦ ἀντ᾽ ἐκείνου ἄρτιον γεγονέναι;’ τῷ ταῦτα λέγοντι οὐκ ἂν ἔχοιμεν διαμαχέσασθαι ὅτι οὐκ*

ἀ-δύνατος, -ον: unable, incapable, impossible, 6
ἀνάγκη, ἡ: necessity, force, constraint, 36
ἀν-ώλεθρος, -α, -ον: indestructible, 12
ἀντί: instead of, in place of (+ gen.), 3
ἀπ-έρχομαι: to go away, depart, 14
ἄρτιος, -α, -ον: even; exactly fitted, proper, 14
δια-μάχομαι: fight, strive, struggle against 3
ἐπ-έρχομαι: to come upon, approach, 8
θερμότης, -τητος, ἡ: heat, 3
κωλύω: to hinder or prevent, 5
οἴχομαι: to go, go off, depart, 14
περιττός -ή -όν: odd, remarkable, 15
προ-λέγω: to say or mention beforehand, 4
πῦρ, πυρός, τό: fire, 14
σῶς, ὁ, ἡ: safe and sound, safe, sound, 6
τρεῖς, τρία: three, 9
ψυχρός, -ά, -όν: cold, chill, frigid, 10
ὧδε: in this way, so, thus, 4

10 **(ἂν) ἀπώλλυτο**: still part of the apodosis of the contrafactual, impf. ἀπόλλυμι
ἂν...ᾤχετο: *would*…; still part of the apodosis of a contrafactual, impf. οἴχομαι, a verb that governs a complementary pple (S 2099)
ἀπελθὸν: neuter sg. aor. pple ἀπ-έρχομαι
b1 **ἀνάγκη (ἐστί)**: *(it is) necessary*
2 **καὶ**: *also, too*; adverbial, also in b3
ἀδύνατον (ἐστί): (*it) is impossible*
ψυχῇ: *for*…; dat. of interest
3 **ἴῃ**: 3s pres. subj. ἔρχομαι + ἄν in an indefinite temporal clause
4 **μὲν γὰρ δή**: *for…certainly in fact*; μὲν δή expresses positive certainty (S 2900)
5 **προειρημένων**: pf. pass. pple προλέγω
δέξεται: fut., see box on p. 174
ἔσται: fut. εἰμί
τεθνηκυῖα: fem. pf. pple ἀποθνήσκω
ἄρτιον: neut. pred. with masc./fem. subject
6 **οὐδέ γε**: *and neither …*; introducing a negative counterpart (GP 156); γε may be marking the ellipsis of a verb (S 2828)
7 **τὸ περιττόν (ἔσται ἄρτιον)**: add verb
οὐδὲ δὴ: *nor then…*; inferential, add ἐστίν
οὐδέ γε: *nor…*; introducing a negative counterpart (GP 156); γε may be marking the ellipsis of a verb (S 2828)
8 **φαίη ἄν τις**: *one might say*; potential opt.
9 **μὴ γίγνεσθαι**: *from not becoming*…; ‘that…not become…’
ἐπιόντος...ἀρτίου: gen. abs. ἐπέρχομαι, i.e. the doubling of an odd number
c1 **ἀπολομένου αὐτοῦ**: gen. abs.; ~περιττὸν
ἀντ(ὶ) ἐκείνου: *in place of that*; ~περιττὸν
γεγονέναι: pf. inf. γίγνομαι
2 **τῷ...λέγοντι**: *with the one…*; the verb μάχομαι governs a dat. of association
ἂν ἔχοιμεν: *we would be able*; potential opt.

ἀπόλλυται· τὸ γὰρ ἀνάρτιον οὐκ ἀνώλεθρόν ἐστιν· ἐπεὶ εἰ τοῦτο ὡμολόγητο ἡμῖν, ῥᾳδίως ἂν διεμαχόμεθα ὅτι ἐπελθόντος τοῦ ἀρτίου τὸ περιττὸν καὶ τὰ τρία οἴχεται ἀπιόντα· καὶ περὶ πυρὸς καὶ θερμοῦ καὶ τῶν ἄλλων οὕτως ἂν διεμαχόμεθα. ἦ οὔ;

πάνυ μὲν οὖν.

οὐκοῦν καὶ νῦν περὶ τοῦ ἀθανάτου, εἰ μὲν ἡμῖν ὁμολογεῖται καὶ ἀνώλεθρον εἶναι, ψυχὴ ἂν εἴη πρὸς τῷ ἀθάνατος εἶναι καὶ ἀνώλεθρος· εἰ δὲ μή, ἄλλου ἂν δέοι λόγου. **d**

ἀλλ᾽ οὐδὲν δεῖ, ἔφη, τούτου γε ἕνεκα· σχολῇ γὰρ ἄν τι ἄλλο φθορὰν μὴ δέχοιτο, εἰ τό γε ἀθάνατον ἀίδιον ὂν φθορὰν δέξεται.

ἀίδιος, -ον: everlasting, 1
ἀν-άρτιος, -ον: uneven, odd, 4
ἀν-ώλεθρος, -α, -ον: indestructible, 12
ἀπ-έρχομαι: to go away, depart, 14
ἄρτιος, -α, -ον: even; exactly fitted, proper, 14
δια-μάχομαι: contend, fight, struggle, 3
ἕνεκα: for the sake of, (+ preceding gen.) 13
ἐπ-έρχομαι: to come upon, approach, 8
θερμός, -ή, -όν: hot, warm; subst. heat, 11
οἴχομαι: to go, go off, depart, 14
περιττός -ή -όν: odd, remarkable, 15
πῦρ, πυρός, τό: fire, 14
ῥᾴδιος, -α, -ον: easy, ready, 9
σχολή, ἡ: leisure, rest; **σχολῇ**, scarcely, 3
τρεῖς, τρία: three, 9
φθορά, ἡ: destruction, ruin, 4

εἰ ὡμολόγητο,...ἂν διεμαχόμεθα: *if this were..., we would...*; present contrafactual (εἰ impf., ἄν + impf.) ὡμολόγητο is plpf. or doric impf.
ἡμῖν: *by/with us*; dat. of compound verb
4 **ἐπελθόντος τοῦ ἀρτίου**: gen. abs., aor. pple ἐπέρχομαι
οἴχεται ἀπιόντα: οἴχομαι, a verb that governs a complementary pple (S 2099); ἀπέρχομαι
8 **πάνυ μὲν οὖν**: *quite certainly indeed*; μὲν οὖν is a strong assent
9 **καὶ**: *also*
ἡμῖν: *by/with us*; dat. of compound verb
ἂν διεμαχόμεθα: *we could...*; present (unrealized) potential or merely part of the apodosis of the contrafactual
10 **ἂν εἴη**: *would be*; potential opt.
πρὸς τῷ...εἶναι: *in addition to being*…; articular inf.
d1 **ἂν δέοι**: *there would be need of*…; + abl. of separation, i.e. ‘there is a lack from,’ impersonal, potential opt.
2 **οὐδὲν δεῖ**: *there is not at all a need*; inner acc.
σχολῇ: *scarely, hardly*
ἂν...δέχοιτο: *would accept*; τι ἄλλο is subject
3 **ὄν**: neut. pple εἰμί

5 *ὁ δέ γε θεὸς οἶμαι, ἔφη ὁ Σωκράτης, καὶ αὐτὸ τὸ τῆς ζωῆς εἶδος καὶ εἴ τι ἄλλο ἀθάνατόν ἐστιν, παρὰ πάντων ἂν ὁμολογηθείη μηδέποτε ἀπόλλυσθαι.*

παρὰ πάντων μέντοι νὴ Δί', ἔφη, ἀνθρώπων τέ γε καὶ ἔτι μᾶλλον, ὡς ἐγῷμαι, παρὰ θεῶν.

e *ὁπότε δὴ τὸ ἀθάνατον καὶ ἀδιάφθορόν ἐστιν, ἄλλο τι ψυχὴ ἤ, εἰ ἀθάνατος τυγχάνει οὖσα, καὶ ἀνώλεθρος ἂν εἴη;*

πολλὴ ἀνάγκη.

5 *ἐπιόντος ἄρα θανάτου ἐπὶ τὸν ἄνθρωπον τὸ μὲν θνητόν, ὡς ἔοικεν, αὐτοῦ ἀποθνῄσκει, τὸ δ' ἀθάνατον σῶν καὶ ἀδιάφθορον οἴχεται ἀπιόν, ὑπεκχωρῆσαν τῷ θανάτῳ.*

ἀ-διάφθορος, -ον: imperishable, 2
ἀν-ώλεθρος, -α, -ον: indestructible, 12
ἀπ-έρχομαι: to go away, depart, 14
εἶδος, -εος, τό: form, shape, figure, 17
ἐπ-έρχομαι: to come upon, approach, 8
ζωή, ἡ: living, way of life, 5
θνητός, -ή, -όν: mortal, liable to death, 7
μηδέ-ποτε: not ever, never, 8
νή: by…(+ acc, invoking a god), 14
οἴχομαι: to go, go off, depart, 14
ὁπότε: when, by what time, 6
σῶς, ὁ, ἡ: safe and sound, safe, sound, 6
ὑπ-εκ-χωρέω: to withdraw, 4

6 **οἶμαι**: οἴομαι, parenthetical
παρὰ πάντων: *by us*; gen. of agent
7 **ὁμολογηθείη**: *would*…; 3s verb with 3p subject, aor. pass. potential opt.
8 **Δία**: *Zeus*; acc. sg.
μέντοι: affirmative
τέ γε: γε is emphasizing the word preceding τέ: ἀνθρώμπων, which in turn follows παρὰ πάντων
9 **ἐγῷμαι**: ἐγὼ οἴομαι
παρὰ θεῶν: gen. of agent
e1 **ὁπότε δὴ**: *since then*…; ὁπότε is causal and δή is inferential
ἄλλο τι...ἢ: *anything other than…*
2 **τυγχάνει**: + pple εἰμί, see p. 20
πολλὴ ἀνάγκη (ἐστί): add linking verb
5 **ἐπιόντος...θανάτου ἐπὶ...ἄνθρωπον**: gen. abs. ἐπέρχομαι
τὸ μὲν θνητόν...τὸ δ(ὲ) ἀθάνατον: *the mortal (part)…the immortal (part)*, both are nom. subject
6 **αὐτοῦ**: *of him*; partitive gen.
7 **οἴχεται ἀπιόν**: οἴχομαι often governs a complementary pple (S 2099); ἀπέρχομαι
τῷ θανάτῳ: *from…*; dat. of compound verb

φαίνεται.

παντὸς μᾶλλον ἄρα, ἔφη, ὦ Κέβης, ψυχὴ ἀθάνατον καὶ ἀνώλεθρον, καὶ τῷ ὄντι ἔσονται ἡμῶν αἱ ψυχαὶ ἐν Ἅιδου. 107

οὔκουν ἔγωγε, ὦ Σώκρατες, ἔφη, ἔχω παρὰ ταῦτα ἄλλο τι λέγειν οὐδέ πῃ ἀπιστεῖν τοῖς λόγοις. ἀλλ᾽ εἰ δή τι Σιμμίας ὅδε ἤ τις ἄλλος ἔχει λέγειν, εὖ ἔχει μὴ κατασιγῆσαι· ὡς οὐκ οἶδα εἰς ὅντινά τις ἄλλον καιρὸν ἀναβάλλοιτο 5
ἢ τὸν νῦν παρόντα, περὶ τῶν τοιούτων βουλόμενος ἤ τι εἰπεῖν ἢ ἀκοῦσαι.

ἀλλὰ μήν, ἦ δ᾽ ὃς ὁ Σιμμίας, οὐδ᾽ αὐτὸς ἔχω ἔτι ὅπῃ ἀπιστῶ ἔκ γε τῶν λεγομένων· ὑπὸ μέντοι τοῦ μεγέθους περὶ ὧν οἱ λόγοι εἰσίν, καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν ἀτιμάζων, b

---

Ἅιδης, -ου ὁ: Hades, 15
ἀν-ώλεθρος, -α, -ον: indestructible, 12
ἀνα-βάλλω: to throw back; put off, delay 1
ἀνθρώπινος, -η, -ον: belonging to human, human, 7
ἀ-πιστέω: to distrust, not believe (+ dat.), 8
ἀ-σθένεια, ἡ: weakness, feebleness, 4
ἀ-τιμάζω: to dishonor, insult, slight, 4
καιρός, ὁ: time, (right) moment, 1
κατα-σιγάω: to remain silent, 1
μέγεθος, -εος, τό: size, magnitude, height, 17
ὅπῃ: in what way, how; where, 11
οὔκ-ουν: certainly not, not in fact, 2
πῃ: in some way, somehow, 4

9 **παντὸς**: *than anything*; gen. of comparison
107a1 **τῷ ὄντι**: *actually, really*; the pple is used as an adverbial
ἔσονται: 3p pres. dep. εἰμί
ἐν Ἅιδου: in (the house) of Hades
2 **ἔχω**: *I am able*
παρὰ: *contrary to…, against…*
4 **ὅδε**: *here*; as if he is pointing to Simmias
εὖ ἔχει: see p. 7
5 **ὡς**: *as, since*
εἰς ὅντινα…ἄλλον καιρὸν: *to what other…*
ἀναβάλλοιτο (ἄν): *he might put (it) off*; a potential opt. without ἄν (S 1821, 1822)
τὸν νῦν παρόντα (καιρόν): i.e. the present
8 **ἀλλὰ μήν**: *well, certainly*; in assent GP 343
8 **ὃς ὁ Σιμμίας**: *Simmias here, this Simmias*; ὅς is a demonstrative
ἔχω: *I know*
9 **ὑπὸ τοῦ μεγέθους…**: *because of…*; gen. of cause
b1 **ἀτιμάζων**: *having a poor opinion of…*

ἀναγκάζομαι ἀπιστίαν ἔτι ἔχειν παρ᾽ ἐμαυτῷ περὶ τῶν εἰρημένων.

οὐ μόνον γ᾽, ἔφη, ὦ Σιμμία, ὁ Σωκράτης, ἀλλὰ ταῦτά τε εὖ λέγεις καὶ τάς γε ὑποθέσεις τὰς πρώτας, καὶ εἰ πισταὶ ὑμῖν εἰσιν, ὅμως ἐπισκεπτέαι σαφέστερον· καὶ ἐὰν αὐτὰς ἱκανῶς διέλητε, ὡς ἐγῷμαι, ἀκολουθήσετε τῷ λόγῳ, καθ᾽ ὅσον δυνατὸν μάλιστ᾽ ἀνθρώπῳ ἐπακολουθῆσαι· κἂν τοῦτο αὐτὸ σαφὲς γένηται, οὐδὲν ζητήσετε περαιτέρω.

ἀληθῆ, ἔφη, λέγεις.

ἀλλὰ τόδε γ᾽, ἔφη, ὦ ἄνδρες, δίκαιον διανοηθῆναι, ὅτι, εἴπερ ἡ ψυχὴ ἀθάνατος, ἐπιμελείας δὴ δεῖται οὐχ ὑπὲρ τοῦ χρόνου τούτου μόνον ἐν ᾧ καλοῦμεν τὸ ζῆν, ἀλλ᾽ ὑπὲρ τοῦ

ἀκολουθέω: to follow (dat.) 1
ἀναγκάζω: to force, compel, require, 10
ἀ-πιστία, ἡ: disbelief, distrust, doubt, 6
δέομαι: lack, need, want; ask for (+ gen.) 7
δι-αιρέω: to divide, separate, distinguish, 3
δια-νοέομαι: to think, consider, intend, 6
δίκαιος, -α, -ον: just, right(eous), fair, 13
δυνατός, -ή, -όν: capable, strong, possible, 8
ἐπ-ακολουθέω: to follow after, pursue (dat) 3
ἐπι-μέλεια, ἡ: care, attention; pursuit, 1
ἐπι-σκέπτεός -ον: one must examine, inspect 1
ζητέω: to seek, look for, investigate, 9
ὅμως: nevertheless, however, yet, 13
περαίτερω: further, (comp. of **πέρα**)1
πιστός, -ή, -όν: trustworthy; credible 2
σαφής, -ές: clear, distinct; certain, reliable, 16
ὑπέρ: above, on behalf of (gen.); over, beyond (acc.), 6
ὑπο-θέσις, -εως, ἡ: proposal, hypothesis, 6

2 **παρ(ὰ) ἐμαυτῷ**: *in my mind* (S 1692.b)
εἰρημένων: pf. pass. pple λέγω (stem ερ)
4 **οὐ μόνον γ(ε)...ἀλλὰ**: *Yes, no only (this) but (also)…*;
5 **τάς ὑποθέσεις...πρώτας**: parallel to ταῦτα (note τε...καί), object of λέγεις
καὶ εἰ: *even if*…; condition is concessive
εἰσιν: 3p εἰμί
6 **ἐπισκεπτέαι (εἰσιν)**: *they must be examined*; 'are to be examined,' this verbal adj. + εἰμί, here understood, expresses obligation; the missing subject is αἱ ὑποθέσεις
6 **σαφέστερον**: comparative adv.
ἐὰν...διέλητε, ἀκολουθήσετε: *if you analyze …, you will*…; 'distinguish' a fut. more vivid condition (εἰ ἄν + subj., fut.), διέλητε is 2s aor. subj. of διαιρέω (ἑλ)
7 **ἐγῷμαι**: ἐγὼ οἴομαι
8 **κατ(ὰ) ὅσον δυνατόν (ἐστι)**: *inasmuch as*
ἀνθρώπῳ: *for*…; dat. of interest
ἐπακολουθῆσαι: aor. inf.
κἂν...γένηται, ζητήσετε: *and if*…; καὶ ἐὰν, a fut. more vivid condition (εἰ ἄν + subj., fut.)
11 **ἀλλὰ...γε**: *but*…; or 'well,' γε emphasizes the preceding noun
δίκαιον (ἐστί): *it is right*
διανοηθῆναι: aor. pass. dep. inf.
c1 **δεῖται**: *needs*…; + partitive gen., 3s pres. δέομαι
δὴ: *then, accordingly*; inferential
οὐχ...μόνον...ἀλλ(ὰ): *not only…but (also)*
ὑπὲρ: *for*…; i.e. 'concerning' (S 1697.1b)
2 **ἐν ᾧ**: *in which (time)*
τὸ ζῆν: articular inf. ζάω
ὑπὲρ παντὸς: *for all (time)*; see c1

παντός, καὶ ὁ κίνδυνος νῦν δὴ καὶ δόξειεν ἂν δεινὸς εἶναι, εἴ τις αὐτῆς ἀμελήσει. εἰ μὲν γὰρ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή, ἕρμαιον ἂν ἦν τοῖς κακοῖς ἀποθανοῦσι τοῦ τε σώματος ἅμ᾽ ἀπηλλάχθαι καὶ τῆς αὐτῶν κακίας μετὰ τῆς ψυχῆς· νῦν δ᾽ ἐπειδὴ ἀθάνατος φαίνεται οὖσα, οὐδεμία ἂν εἴη αὐτῇ ἄλλη ἀποφυγὴ κακῶν οὐδὲ σωτηρία πλὴν τοῦ ὡς **d** *βελτίστην τε καὶ φρονιμωτάτην γενέσθαι. οὐδὲν γὰρ ἄλλο ἔχουσα εἰς Ἅιδου ἡ ψυχὴ ἔρχεται πλὴν τῆς παιδείας τε καὶ τροφῆς, ἃ δὴ καὶ μέγιστα λέγεται ὠφελεῖν ἢ βλάπτειν τὸν τελευτήσαντα εὐθὺς ἐν ἀρχῇ τῆς ἐκεῖσε πορείας. λέγεται δὲ οὕτως, ὡς ἄρα τελευτήσαντα ἕκαστον ὁ ἑκάστου δαίμων, ὅσπερ ζῶντα εἰλήχει, οὗτος ἄγειν ἐπιχειρεῖ εἰς δή τινα*

ἄγω: to lead, bring, carry, convey, 12
Ἅιδης, -ου ὁ: Hades, 15
ἀμελέω: to have no care for, neglect, 5
ἀπ-αλλαγή, ἡ: escape; release, departure, 7
ἀπ-αλλάττω: escape, release; set free, 15
ἀπο-φυγή, ἡ: escape; refuge, 1
ἀρχή, ἡ: a beginning; rule, office, 8
βέλτιστος, -η, -ον: best, 14
βλάπτω: to harm, hurt, 1
δαίμων, -ονος, ὁ: a divine being or spirit, 3
δεινός, -ή, -όν: terrible; wondrous, clever, 6
ἐκεῖ-σε: thither, to that place, 10
ἐπι-χειρέω: put one's hand on, attempt, try, 8
ἕρμαιον, τό: a god-send, gift of the gods, stroke of luck, 1
εὐθύς: right away, straight, directly, at once, 9
κακία, ἡ: wickedness, flaw, cowardice, 6
κίνδυνος, ὁ: risk, danger, venture, 2
λαγχάνω: to obtain by lot; be the tutelary deity over, preside over, 1
μέγιστος, -η, -ον: very big, greatest, most, 6
παιδεία, ἡ: education, culture, learning, 1
πλήν: except, but (+ gen.), 7
πορεία, ἡ: journey; way, march, 3
σωτηρία, ἡ: deliverance, salvation, 1
τροφή, ἡ: rearing, upbringing; food, 4
φρόνιμος, -ον: sensible, wise, prudent, 8
ὠφελέω: to help, to be of use, benefit, 1

4 **νῦν δὴ**: *now already*; 'just now, i.e. if it were true now that the soul is immortal
καὶ: *actually*; adverbial καί, potential opt.
5 **ἀμελήσει**: *will care*…; a fut. replaces opt. in future less vivid to express heightened emotion (emotional future less vivid)
εἰ...ἦν...ἂν ἦν: *if...were,..would be*...; pres. contrafactual (εἰ impf., impf.), εἰμί
τοῦ παντὸς: *from*…; gen. of separation
6 **ἂν ἦν**: *it would be*; impersonal
τοῖς κακοῖς (ἀνθρώποις): dat. interest
ἀποθανοῦσι: aor. pple
τοῦ σώματος: *from*…; separation
7 **ἀπηλλάχθαι**: aor. pass. inf.
τῆς...κακίας: *from*…; separation, parallel to σώματος
8 **νῦν δ(ὲ)**: *but as it is*…; as often following a contrafactual condition
φαίνεται οὖσα: *appears to*; + pple
ἂν εἴη: *would*…; potential opt. εἰμί
d1 **αὐτῇ**: *for it*; i.e. soul, dat. of interest
κακῶν: *from*…; separation
ὡς...: *as…as possible*; + superlative
3 **εἰς Ἅιδου**: *into Hades' (house)*
ἃ δὴ: *which very things*…; with sg. verb
4 **καὶ**: *quite*; an intensive modifying an adv.
μέγιστα: superlative adv.
τὸν τελευτήσαντα: *the one having died*
6 **ὡς**: *that…*
7 **εἰλήχει**: plpf. λαγχάνω
ζῶντα: *that one (while) being alive*
δή τινα: *a certain (fixed)*; intensive δή

τόπον, οἳ δεῖ τοὺς συλλεγέντας διαδικασαμένους εἰς Ἅιδου
e πορεύεσθαι μετὰ ἡγεμόνος ἐκείνου ᾧ δὴ προστέτακται τοὺς
ἐνθένδε ἐκεῖσε πορεῦσαι· τυχόντας δὲ ἐκεῖ ὧν δὴ τυχεῖν
καὶ μείναντας ὃν χρὴ χρόνον ἄλλος δεῦρο πάλιν ἡγεμὼν
κομίζει ἐν πολλαῖς χρόνου καὶ μακραῖς περιόδοις. ἔστι δὲ
ἄρα ἡ πορεία οὐχ ὡς ὁ Αἰσχύλου Τήλεφος λέγει· ἐκεῖνος
108 μὲν γὰρ ἁπλῆν οἶμόν φησιν εἰς Ἅιδου φέρειν, ἡ δ' οὔτε
ἁπλῆ οὔτε μία φαίνεταί μοι εἶναι. οὐδὲ γὰρ ἂν ἡγεμόνων
ἔδει· οὐ γάρ πού τις ἂν διαμάρτοι οὐδαμόσε μιᾶς ὁδοῦ
οὔσης. νῦν δὲ ἔοικε σχίσεις τε καὶ τριόδους πολλὰς ἔχειν·
5 ἀπὸ τῶν θυσιῶν τε καὶ νομίμων τῶν ἐνθάδε τεκμαιρόμενος
λέγω. ἡ μὲν οὖν κοσμία τε καὶ φρόνιμος ψυχὴ ἕπεταί τε

Ἅιδης, -ου ὁ: Hades, 15
Αἰσχύλος, ὁ: Aeschylus (the playwright) 1
ἁπλός, ή, όν: single, simple, plain, 3
δια-δικάζω: give judgment in a case, decide 2
δι-αμαρτάνω: to go astray, miss entirely, 1
ἐκεῖ: there, in that place, 17
ἐν-θάδε: here, hither, thither, 17
ἐν-θένδε: hence, from here, 3
ἕπομαι: to follow, accompany, escort, 9
ἡγεμών, ὁ: guide, leader, commander, 5
θυσία, ἡ: sacrifice, offering, rite, 2
κομίζω: to carry, convey; travel, journey, 2
κόσμιος, -η, -ον: well-ordered, regular, 4
μακρός, ά, όν: long, far, distant, large, 4
μένω: to stay, remain, 8
νόμιμος, -η, -ον: customary, lawful, 2
ὁδός, ἡ: road, way, path, journey, 1
οἶμος, ὁ, ἡ: way, road, path, 1
οὐδαμό-σε: to no place, to nowhere, 2
περί-οδος, ἡ: cycle or period of time, circuit 1
πορεία, ἡ: journey; way, march, 3
πορεύω to conduct; *mid*. travel, journey, 7
προσ-τάττω: to order, assign, appoint (dat) 5
συλ-λέγω: to collect, gather, 4
σχίσις, -εως, ἡ: parting, cleavage, 4
τεκμαίρομαι: to judge by signs, conjecture, 1
Τήλεφος, ὁ: Telephus, (a lost tragedy) 1
τρί-οδος, ἡ: crossroads, meeting of roads, 1
φρόνιμος, -ον: sensible, wise, prudent, 8

8 **οἳ**: *to where*; relative adverb
συλλεγέντας: aor. pass. pple
διαδικασαμένους: aor. mid. pple.
εἰς Ἅιδου: *to Hades' (house)*
e1 **ᾧ δὴ**: *the very one whom, precisely whom*
προστέτακται: *it…*; impers., 3s pf. pass. προστάσσω
τοὺς ἐνθένδε: *those here*; object of inf.
2 **πορεῦσαι**: *to conduct*; aor. inf. πορεύω
τυχόντας δὲ ἐκεῖ ὧν δὴ (χρή) τυχεῖν: *(them) having attained there precisely what it is necessary to attain*; i.e. 'they ought to attain' aor. pple, inf. τυγχάνω, governing a partitive gen.
3 **μείναντας**: aor pple. μένω
ὃν…χρόνον: *for which time…*; acc. duration
5 **ὡς**: *just as…*
108a1 **φησιν**: *says*; 3s pres.
φέρειν: *leads…*; i.e. the path bears to…
ἡ δ(ὲ): *and it…*; i.e. the path, ἡ οἶμος
2 **ἂν…ἔδει**: *there would be a need for…*; ἄν + impf. expresses present (unrealized) potential; governing a partitive gen.
3 **διαμάρτοι**: *could…*; 3s aor. potential opt.
μιᾶς…οὔσης: *if…*; gen. abs., conditional
4 **σχίσεις**: i.e. forks in the road
5 **νομίμων…ἐνθάδε**: *ceremonies here*
ἕπεται: *follows (the guide)*

καὶ οὐκ ἀγνοεῖ τὰ παρόντα· ἡ δ᾽ ἐπιθυμητικῶς τοῦ σώματος
ἔχουσα, ὅπερ ἐν τῷ ἔμπροσθεν εἶπον, περὶ ἐκεῖνο πολὺν
χρόνον ἐπτοημένη καὶ περὶ τὸν ὁρατὸν τόπον, πολλὰ b
ἀντιτείνασα καὶ πολλὰ παθοῦσα, βίᾳ καὶ μόγις ὑπὸ τοῦ
προστεταγμένου δαίμονος οἴχεται ἀγομένη. ἀφικομένην δὲ
ὅθιπερ αἱ ἄλλαι, τὴν μὲν ἀκάθαρτον καί τι πεποιηκυῖαν
τοιοῦτον, ἢ φόνων ἀδίκων ἡμμένην ἢ ἄλλ᾽ ἄττα τοιαῦτα 5
εἰργασμένην, ἃ τούτων ἀδελφά τε καὶ ἀδελφῶν ψυχῶν ἔργα
τυγχάνει ὄντα, ταύτην μὲν ἅπας φεύγει τε καὶ ὑπεκτρέπεται
καὶ οὔτε συνέμπορος οὔτε ἡγεμὼν ἐθέλει γίγνεσθαι, αὐτὴ
δὲ πλανᾶται ἐν πάσῃ ἐχομένη ἀπορίᾳ ἕως ἂν δή τινες c
χρόνοι γένωνται, ὧν ἐλθόντων ὑπ᾽ ἀνάγκης φέρεται εἰς τὴν

ἀ-γνοέω: not know, be ignorant of, 1
ἄγω: to lead, bring, carry, convey, 12
ἀδελφός, -ή, -όν: akin to (gen); kindred, 2
ἄ-δικος, -ον: unrighteous, unjust, 6
ἀ-κάθαρτος, -ον: impure, not clean, 2
ἀντι-τείνω: to resist, strive against, 2
ἅπας, ἅπασα, ἅπαν: every, quite all, 14
ἀ-πορία, ἡ: bewilderment, puzzlement, 1
ἅπτω: engage in, touch (gen); kindle 11
βία, βίας, ἡ: bodily strength, force, might, 2
δαίμων, -ονος, ὁ: a divine being or spirit, 3
ἔμ-προσθεν: before, former; earlier, 7
ἐπι-θυμητικός, -ή, -όν: desiring, coveting, 1
ἐργάζομαι: to work, labor, toil, 4
ἔργον, τό: work, labor, deed, act, 5
ἕως: until, as long as, 15
ἡγεμών, ὁ: leader, commander, guide, 5
μόγις: with difficulty, scarcely, hardly, 1
ὅθι-περ: where, the very place where, 1
οἴχομαι: to go, go off, depart, 14
ὁρατός, -ή, -όν: visible, to be seen, 17
πλανάω: make wander; *mid*. wander, 4
προσ-τάττω: to order, assign, appoint, 5
πτοέω: to flutter, excite, terrify, scare, 1
συν-έμπορος ὁ: fellow-traveller, companion 2
ὑπ-εκ-τρέπω: to turn aside from + acc., 1
φεύγω: to flee, escape; avoid, 10
φόνος, ὁ: murder, slaughter, 2

7 **τὰ παρόντα**: *present circumstances*
ἡ δ᾽(ψυχή): *but (the soul)*; reply to ἡ μὲν...
ἐπιθυμητικῶς...ἔχουσα: *being desirous of*; ; + adv. (see p. 7); governing a partitive gen.
8 **ἐν τῷ ἔμπροσθεν**: *in the (time) before*
πολὺν χρόνον: *for*…; acc. of duration
b1 **ἐπτοημένη**: pf. pass. pple πάσχω
πολλὰ: *much*; inner acc.
2 **πολλὰ**: *many things*; inner acc.
παθοῦσα: aor. pple πάσχω
βίᾳ: *by violence*; dat. of means
ὑπὸ...: *by*…; gen. of agent
3 **προστεταγμένου**: pf. pass.
οἴχεται: governs a complementary pple, here pass. pple (S 2099)
4 **αἱ ἄλλαι (ψυχαί)**: add noun
τὴν μὲν (ψυχὴν): *the soul…*
πεποιηκυῖαν: pf. act. pple ποιέω
5 **ἢ...ἢ...**: *either…or*
ἡμμένων: i.e. having committed; pf. mid. ἅπτω + partitive gen.
ἄττα: *some*; alternate form of neuter τινα
εἰργασμένην: pf. mid. pple
ἀδελφά, ἀδελφῶν: adjectives, not nouns
7 **τυγχάνει**: + pple, see p. 20
8 **αὐτὴ δὲ**: *but (the soul) itself…*; i.e. by itself
c1 **ἐν πάσῃ ἀπορίᾳ ἐχομένη**: pass. pple, note the word order
ἕως ἂν δή τινες...γένωνται: *while certain fixed times come to pass*; ἄν + aor. subj., indefinite temporal clause; intensive δή
2 **ὧν ἐλθόντων**: *these coming to pass*; abs.

αὐτῇ πρέπουσαν οἴκησιν· ἡ δὲ καθαρῶς τε καὶ μετρίως τὸν βίον διεξελθοῦσα, καὶ συνεμπόρων καὶ ἡγεμόνων θεῶν τυχοῦσα, ᾤκησεν τὸν αὐτῇ ἑκάστη τόπον προσήκοντα. εἰσὶν δὲ πολλοὶ καὶ θαυμαστοὶ τῆς γῆς τόποι, καὶ αὐτὴ οὔτε οἷα οὔτε ὅση δοξάζεται ὑπὸ τῶν περὶ γῆς εἰωθότων λέγειν, ὡς ἐγὼ ὑπό τινος πέπεισμαι.

d *καὶ ὁ Σιμμίας, πῶς ταῦτα, ἔφη, λέγεις, ὦ Σώκρατες; περὶ γάρ τοι γῆς καὶ αὐτὸς πολλὰ δὴ ἀκήκοα, οὐ μέντοι ταῦτα ἃ σὲ πείθει· ἡδέως οὖν ἂν ἀκούσαιμι.*

ἀλλὰ μέντοι, ὦ Σιμμία, οὐχ ἡ Γλαύκου τέχνη γέ μοι δοκεῖ εἶναι διηγήσασθαι ἄ γ' ἐστίν· ὡς μέντοι ἀληθῆ, χαλεπώτερόν μοι φαίνεται ἢ κατὰ τὴν Γλαύκου τέχνην, καὶ

Γλαύκων, ὁ: Glaucon, 2
δι-εξ-έρχομαι: to pass through, go through 5
δι-ηγέομαι: set out in detail, relate, narrate, 3
δοξάζω: to think, opine, suppose, imagine, 3
εἴωθα: to be accustomed, 12
ἡγεμών, ὁ: leader, commander, guide, 5
ἡδέως: sweetly, pleasantly, gladly, 6
θαυμαστός, -ή, -όν: wonderful, marvelous, strange, 11
μέτριος, -α, -ον: moderate, in due measure, 7
οἰκέω: to inhabit, dwell, live, 15
οἴκησις, ἡ: dwelling, 5
πρέπει: it is fitting, it is suitable (impers.) 8
προσ-ήκει: it belongs, it is fitting, befits 15
συν-έμπορος ὁ: fellow-traveller, companion 1
τέχνη, ἡ: craft, art, 6
χαλεπός, -ά, -όν: difficult, hard, harmful, 5

3 **αὐτῇ**: *to it*; i.e. soul, dat. of interest with the pple
ἡ δὲ: *but the soul…*
5 **τυχοῦσα**: aor. pple + partitive gen., see p. 20
ᾤκησεν: aor. οἰκέω
εἰσὶν: 3p pres. εἰμί
6 **καὶ αὐτὴ οὔτε οἷα οὔτε ὅση**: *and (the earth) itself (is) neither the sort nor the size…*; add a linking verb
7 **εἰωθότων**: pf. pple εἴωθα, present in sense; gen. of agent
8 **πέπεισμαι**: pf. pass. πείθω
d1 **λέγεις**: i.e. what do you mean by these?
δὴ: *quite*
2 **ἀκήκοα**: 1s pf. ἀκούω
3 **πείθει**: *persuades you*; neuter pl. ἅ is the subject
ἂν ἀκούσαιμι: *would…*; potential opt.
4 **ἀλλὰ μέντοι**: *well, certainly*; ἀλλὰ as often in replies, μέντοι is confirmatory (GP 411)
ἡ Γλαύκου τέχνη...ἐστίν: *it does not seem to me to be the art of Glaucus at least to explain what indeed it is*; i.e. it does not take a genius to explain…; ἡ...τέχνη is an idiom of unclear, though speculated, origin
5 **ὡς...ἀληθῆ**: *that (these things are) true, however,…*; ἀληθέα is predicate, add verb
6 **χαλεπώτερόν (διηγήσασθαι)**: supply an epexegetic inf. with this comparative
ἢ κατὰ τὴν Γλαύκου τέχνην: *than compared to the art of Glaucus*; 'than according to…' for κατά, see S 1690c

ἅμα μὲν ἐγὼ ἴσως οὐδ' ἂν οἷός τε εἴην, ἅμα δέ, εἰ καὶ ἠπιστάμην, ὁ βίος μοι δοκεῖ ὁ ἐμός, ὦ Σιμμία, τῷ μήκει τοῦ λόγου οὐκ ἐξαρκεῖν. τὴν μέντοι ἰδέαν τῆς γῆς οἵαν πέπεισμαι εἶναι, καὶ τοὺς τόπους αὐτῆς οὐδέν με κωλύει e
λέγειν.

ἀλλ', ἔφη ὁ Σιμμίας, καὶ ταῦτα ἀρκεῖ.

πέπεισμαι τοίνυν, ἦ δ' ὅς, ἐγὼ ὡς πρῶτον μέν, εἰ ἔστιν ἐν μέσῳ τῷ οὐρανῷ περιφερὴς οὖσα, μηδὲν αὐτῇ δεῖν μήτε 5
ἀέρος πρὸς τὸ μὴ πεσεῖν μήτε ἄλλης ἀνάγκης μηδεμιᾶς 109
τοιαύτης, ἀλλὰ ἱκανὴν εἶναι αὐτὴν ἴσχειν τὴν ὁμοιότητα τοῦ οὐρανοῦ αὐτοῦ ἑαυτῷ πάντῃ καὶ τῆς γῆς αὐτῆς τὴν ἰσορροπίαν· ἰσόρροπον γὰρ πρᾶγμα ὁμοίου τινὸς ἐν μέσῳ

ἀήρ, ἀέρος m.: air, mist 16
ἀρκέω: to suffice, be enough, ward off, 1
ἐξ-αρκέω: be enough for, suffice for (dat.), 1
ἐπίσταμαι: know, know how, understand, 13
ἰδέα, ἡ: idea, character; appearance, form, 8
ἰσό-ρροπία, ἡ: equilibrium, balance, 1
ἰσό-ρροπος, -ον: balanced, well-balanced, 1
ἴσχω: to have, hold back, check, restrain, 3
κωλύω: to hinder or prevent, 5
μέσος, - η, -ον: middle, in the middle of, 8
μῆκος, τό: length, 1
ὁμοιότης, -τητος, ἡ: similarity, resemblance, 3
οὐρανός, ὁ: sky, heaven, 10
πάντῃ: in every way, on every side, 1
περι-φερής, -ές: rounded, circular 1
πίπτω: to fall, 3
πρᾶγμα, -ατος τό: deed, act; matter, affair 18

7 **ἅμα μὲν...ἅμα δέ**: i.e. both…and
οἷός τε εἴην: οἷος τε εἰμί, 'I am the sort to' is a common idiom for 'I am able'; here as, an potential opt.
εἰ καὶ ἠπιστάμην: *even if I had the knowledge*; aor. as a protasis of a mixed contrafactual
8 **τῷ μήκει**: *for…*; obj. of compound verb
9 **τοῦ λόγου**: *of the argument*
τὴν μέντοι...εἶναι: *what sort of character of the earth I have been persuaded that there is*; 'the character of the earth, what sort I have been persuaded that (it) is' pf. pass. , proleptic use of ἰδέαν
e1 **τόπους**: *regions*
οὐδέν: nom. subject
3 **ἀλλὰ**: *well*
4 **ἦ δ'ὅς**: see note on p. 9
ὡς: *that*; begins ind. disc. but is abandoned for acc + inf. in what follows
πρῶτον: adverbial acc.
ἔστιν: *(the earth) is*; add ἡ γῆ as subject
οὖσα: pple εἰμί
5 **μηδὲν αὐτῇ δεῖν**: *that for it there is not at all a need for…*; + partitive gen.; ind. disc. (ignoring ὡς) + πέπεισμαι, for μή, S 2726
109a1 **πρὸς...πεσεῖν**: *with regard to…*; articular inf. πίπτω
ἀνάγκης: *force*
2 **ἱκανὴν εἶναι αὐτὴν ἴσχειν**: *...are sufficient to hold it (in place)*; i.e. the earth; though ἱκανήν is sg., there are two acc. subjects
3 **ἑαυτῷ**: *to…*; dat. with ὁμοιότητα
πάντῃ: *on every side*
4 **πρᾶγμα**: *object*
ὁμοίου τινὸς...μέσῳ: *in the middle of something of this sort sort*; i.e. something homogenous like the sky

τεθὲν οὐχ ἕξει μᾶλλον οὐδ' ἧττον οὐδαμόσε κλιθῆναι, ὁμοίως δ' ἔχον ἀκλινὲς μενεῖ. πρῶτον μὲν τοίνυν, ἦ δ' ὅς, τοῦτο πέπεισμαι.

καὶ ὀρθῶς γε, ἔφη ὁ Σιμμίας.

ἔτι τοίνυν, ἔφη, πάμμεγά τι εἶναι αὐτό, καὶ ἡμᾶς οἰκεῖν **b** τοὺς μέχρι Ἡρακλείων στηλῶν ἀπὸ Φάσιδος ἐν σμικρῷ τινι μορίῳ, ὥσπερ περὶ τέλμα μύρμηκας ἢ βατράχους περὶ τὴν θάλατταν οἰκοῦντας, καὶ ἄλλους ἄλλοθι πολλοὺς ἐν πολλοῖσι τοιούτοις τόποις οἰκεῖν. εἶναι γὰρ πανταχῇ περὶ τὴν γῆν πολλὰ κοῖλα καὶ παντοδαπὰ καὶ τὰς ἰδέας καὶ τὰ μεγέθη, εἰς ἃ συνερρυηκέναι τό τε ὕδωρ καὶ τὴν ὁμίχλην καὶ τὸν ἀέρα· αὐτὴν δὲ τὴν γῆν καθαρὰν ἐν καθαρῷ κεῖσθαι

ἀ-κλινής, -ές: unbending, leaning either side, 1
ἀήρ, ἀέρος m.: air, mist 16
ἄλλο-θι: in another place, elsewhere, 7
βάτραχος, ὁ: frog, 1
Ἡρακλείος, -α, -ον: of Heracles, 1
ἧττων, -ον: less, weaker, inferior, 16
θάλαττα, ἡ: the sea, 12
ἰδέα, ἡ: idea, character; appearance, form, 8
κεῖμαι: to lie, lie down 4
κλίνω: to bend, swerve; incline, lean, 1
κοῖλος, -η, -ον: hollow, hollowed, 5
μέγεθος, -εος, τό: size, magnitude, height, 17
μένω: to stay, remain, 8
μέχρι: up to; until, as long as (+ gen.), 5
μόριον, τό: piece, portion, 2
μύρμηξ, μύρμηκος, ὁ: ant, 2
οἰκέω: to inhabit, dwell, live, 15
ὁμίχλη, ἡ: mist, fog, 1
οὐδαμό-σε: to no place, to nowhere, 2
πάμ-μεγας, -άλη, -α: very great, immense, 1
παντα-χῇ: everywhere, in every way, 3
παντο-δαπός, -ή, -όν: of every kind, of all sorts 3
σμικρός, -ά, -όν: small, little, 19
στήλη, ἡ: pillar; slab, stele, 1
συρ-ρέω: to flow together, 4
τέλμα, τέλματος, τό: pond, 1
τίθημι: to set, put, place, arrange, 10
ὕδωρ, ὕδατος, τό: water, 14
Φάσις, Φάσιδος, ἡ: Phasis (River),1

5 **τεθὲν**: neut. sg. aor. pass. pple τίθημι
ἕξει: *will be able*; fut. ἔχω
ἧττον: *less*; compartive adverb
κλιθῆναι: aor. pass. inf.
6 **ὁμοίως ἔχον**: neut. pple modifying πρᾶγμα, for ἔχω + adv., see p. 7
ἦ δ'ὅς: see note on p. 9
7 **πέπεισμαι**: pf. pass. πείθω
8 **καὶ...γε**: *and rightly*; emphasing the intervening word
9 **πάμμεγά...αὐτό (πέπεισμαι)**: *(I am persuaded that it…*; supply verb
b1 **τοὺς μέχρι...στηλῶν...οἰκοῦντας**: *those…*; in apposition to ἡμᾶς; Phasis lies on the eastern shore of the Black sea and the pillars on the western end of the Mediterranean
3 **ἄλλους ἄλλοθι**: *some in some places, others in other places*; S 1274
5 **καὶ τὰς ἰδέας... μεγέθη**: *both in…and in…*; acc. respect
6 **εἰς ἃ**: *into which…*
συνερρυηκέναι: pf. inf. συρρέω, ind. disc. still governed by πέπεισμαι
7 **ἐν καθαρῷ...τῷ οὐρανῷ**: καθαρῷ modifies οὐρανῷ

τῷ οὐρανῷ ἐν ᾧπέρ ἐστι τὰ ἄστρα, ὃν δὴ αἰθέρα ὀνομάζειν
τοὺς πολλοὺς τῶν περὶ τὰ τοιαῦτα εἰωθότων λέγειν· οὗ δὴ c
ὑποστάθμην ταῦτα εἶναι καὶ συρρεῖν ἀεὶ εἰς τὰ κοῖλα τῆς
γῆς. ἡμᾶς οὖν οἰκοῦντας ἐν τοῖς κοίλοις αὐτῆς λεληθέναι
καὶ οἴεσθαι ἄνω ἐπὶ τῆς γῆς οἰκεῖν, ὥσπερ ἂν εἴ τις ἐν
μέσῳ τῷ πυθμένι τοῦ πελάγους οἰκῶν οἴοιτό τε ἐπὶ τῆς 5
θαλάττης οἰκεῖν καὶ διὰ τοῦ ὕδατος ὁρῶν τὸν ἥλιον καὶ τὰ
ἄλλα ἄστρα τὴν θάλατταν ἡγοῖτο οὐρανὸν εἶναι, διὰ δὲ
βραδυτῆτά τε καὶ ἀσθένειαν μηδεπώποτε ἐπὶ τὰ ἄκρα τῆς d
θαλάττης ἀφιγμένος μηδὲ ἑωρακὼς εἴη, ἐκδὺς καὶ ἀνακύψας
ἐκ τῆς θαλάττης εἰς τὸν ἐνθάδε τόπον, ὅσῳ καθαρώτερος καὶ
καλλίων τυγχάνει ὢν τοῦ παρὰ σφίσι, μηδὲ ἄλλου

αἰθήρ, -έρος ὁ: aether, air, sky, 4
ἄκρος, -η, -ον: topmost, excellent, 3
ἀνα-κύπτω: to lift up one's head, 3
ἄνω: up, above, 6
ἀ-σθένεια, ἡ: weakness, feebleness, 4
ἄστρον, τὸ: a star, 5
βραδυτής, -τῆτος, ἡ: slowness, 2
εἴωθα: to be accustomed, 12
ἐκ-δύω: to come out; take off, strip, 1
ἐν-θάδε: here, hither, thither, 17
ἥλιος, ὁ: the sun, 7
θάλαττα, ἡ: the sea, 12
καλλιων, -ον: more noble or beautiful, 7
κοῖλος, -η, -ον: hollow, hollowed, 5
λανθάνω: to escape notice of; forget, 7
μέσος, - η, -ον: middle, in the middle of, 8
μηδε-πώποτε: not yet ever, never in the world 1
οἰκέω: to inhabit, dwell, live, 15
ὄνομα, -ατος, τό: name, 7
οὐρανός, ὁ: sky, heaven, 10
πελάγος, ὁ: sea, 1
πυθμήν, -ένος ὁ: bottom, base, 2
συρ-ρέω: to flow together, 4
σφεῖς: they, 4
ὕδωρ, ὕδατος, τό: water, 14
ὑπο-στάθμη, ἡ: sediment, 1

8 **τῷ οὐρανῷ**: supply ἐν καθαρῷ
ὃν δὴ: *the very one which, precisely what…*
7 **εἰωθότων**: *of those accustomed*; partitive gen., pf. pple εἴωθα
c1 **οὗ δὴ**: *of which very thing*
2 **ταῦτα**: acc. subject, i.e. the water, mist, and air from b6-7
3 **ἡμὰς...οἰκοῦντας...λεληθέναι**: pf. act. inf. λανθάνω + complementary pple; often, the pple acts as main verb and λανθάνω is translated as 'unawares' or 'unknowlingly'
4 **ἄνω ἐπὶ τῆς γῆς**: *above on the earth*
ὥσπερ ἂν εἴ: *just as if…*; ὥσπερ εἰ, the ἄν suggests a suppressed (missing) apodosis
οἰκῶν: nom. sg. pple οἰκέω
5 **οἴοιτο...ἡγοῖτο**: *should…should…*; opt. in protasis of a future less vivid; οἴομαι
d2 **ἀφιγμένος (εἴη)**: *should have arrived*; opt. periphrastic pf. (pple + εἰμί) in same protasis, ἀφικνέομαι
ἑωρακὼς εἴη: periphratic pf., see above ὁράω
ἐκδὺς: *by…*; i.e. of the water; nom. sg. aor. pple, causal in sense
ἀνακύψας: aor. pple
3 **ὅσῳ...**: *how much…*; 'by how much,' the clause is governed by ἀκήκοὼς εἴη, a dat. of degree of difference
4 **τυγχάνει**: pple εἰμί, see p. 20
τοῦ παρὰ σφίσι: *than (the place) where they live*; gen. of comparison, dat. place where, παρὰ is similar to *apud* or *chez*

ἀκηκοὼς εἴη τοῦ ἑωρακότος. ταὐτὸν δὴ τοῦτο καὶ ἡμᾶς πεπονθέναι· οἰκοῦντας γὰρ ἔν τινι κοίλῳ τῆς γῆς οἴεσθαι ἐπάνω αὐτῆς οἰκεῖν, καὶ τὸν ἀέρα οὐρανὸν καλεῖν, ὡς διὰ τούτου οὐρανοῦ ὄντος τὰ ἄστρα χωροῦντα· τὸ δὲ εἶναι ταὐτόν, ὑπ᾽ ἀσθενείας καὶ βραδυτῆτος οὐχ οἵους τε εἶναι ἡμᾶς διεξελθεῖν ἐπ᾽ ἔσχατον τὸν ἀέρα· ἐπεί, εἴ τις αὐτοῦ ἐπ᾽ ἄκρα ἔλθοι ἢ πτηνὸς γενόμενος ἀνάπτοιτο, κατιδεῖν <ἂν> ἀνακύψαντα, ὥσπερ ἐνθάδε οἱ ἐκ τῆς θαλάττης ἰχθύες ἀνακύπτοντες ὁρῶσι τὰ ἐνθάδε, οὕτως ἄν τινα καὶ τὰ ἐκεῖ κατιδεῖν, καὶ εἰ ἡ φύσις ἱκανὴ εἴη ἀνασχέσθαι θεωροῦσα, γνῶναι ἂν ὅτι ἐκεῖνός ἐστιν ὁ ἀληθῶς οὐρανὸς καὶ τὸ ἀληθινὸν φῶς καὶ ἡ ὡς ἀληθῶς γῆ. ἥδε μὲν γὰρ ἡ γῆ καὶ οἱ λίθοι καὶ

ἀ-σθένεια, ἡ: weakness, feebleness, 4
ἀήρ, ἀέρος m.: air, mist 16
ἄκρος, -η, -ον: topmost, excellent, 3
ἀληθινός, -ή, -όν: truthful, true, real, 1
ἀν-έχω: to hold up; uphold, hold out, 1
ἀνα-κύπτω: to lift up one's head, 3
ἀνα-πέτομαι: to fly up, fly away, 1
ἄστρον, τὸ: a star, 5
βραδυτής, -τῆτος, ἡ: slowness, 2
γιγνώσκω: learn to know, to learn, realize 12
δι-εξ-έρχομαι: to pass through, go through 5
ἐκεῖ: there, in that place, 17
ἐν-θάδε: here, hither, thither, 17
ἐπ-άνω: above (+ gen.), 1
ἔσχατος, -η, -ον: extreme, last, furthest, 5
θάλαττα, ἡ: the sea, 12
θεωρέω: to see, watch, look at, 3
ἰχθύς, -ύος, ὁ: fish, 1
καθ-οράω: to look (down), perceive, 4
κοῖλος, -η, -ον: hollow, hollowed, 5
λίθος, ὁ: a stone, 8
οἰκέω: to inhabit, dwell, live, 15
οὐρανός, ὁ: sky, heaven, 10
πτηνός, -ή, -όν: winged, feathered, , 1
φύσις, -εως, ἡ: nature, character; form, 11
φῶς (φάος), φάεος, τό: light, 1
χωρέω: to go, come; have room for, 4

5 **ἀκηκοὼς εἴη**: *should*…; same fut. less vivid, a periphrastic pf., ἀκούω
ἄλλου...τοῦ ἑωρακότος: *from another having*...; pf. act. pple ὁράω, a gen. of source, common with the verb ἀκούω
ταὐτὸν δὴ τοῦτο: *this very same thing*; τὸ αὐτὸν, inner acc.
καὶ: *also, too*
6 **πεπονθέναι**: pf. inf. πάσχω
7 **οἴεσθαι**: *that we*…; add acc. subj. ἡμᾶς
ὡς...ἄστρα χωροῦντα: *on the grounds that*…; 'since…', ὡς + pple expresses an alleged cause from a non-speaker's view
e1 **τὸ δὲ εἶναι ταῦτὸν**: *but this is the same*…; τὸ αὐτὸν, either τὸ is a demonsrative, the acc. subj. or this is an impers. inf. absolute; assume πέπεισμαι in a7 as the main verb
ὑπὸ: *because of*...; gen. of cause
οἵους τε εἶναι ἡμᾶς: *that we*…; acc. subject + inf. in apposition to the demonstrative τὸ; οἷος τε εἰμί, is an idiom for 'I am able'
2 **ἐπὶ ἔσχατον τὸν ἀέρα**: *to the upper air*
ἐπεὶ: *since*
αὐτοῦ: *of it*; i.e of the air
3 **ἔλθοι...ἀνάπτοιτο**: *should go, should fly up*
γενόμενος: aor. γίγνομαι + nom. predicate
κατίδειν: *then he would see*; inf. καθοράω
5 **τὰ ἐνθάδε**: *things here*
οὕτως...: *so one could see things there also*
6 **εἴη...**: *were sufficient to sustain seeing*
γνῶναι ἄν...: *he would know*; aor. inf.
ὡς ἀληθῶς: *in reality*

ἅπας ὁ τόπος ὁ ἐνθάδε διεφθαρμένα ἐστὶν καὶ καταβεβρωμένα, ὥσπερ τὰ ἐν τῇ θαλάττῃ ὑπὸ τῆς ἅλμης, καὶ οὔτε φύεται ἄξιον λόγου οὐδὲν ἐν τῇ θαλάττῃ, οὔτε τέλειον ὡς ἔπος εἰπεῖν οὐδέν ἐστι, σήραγγες δὲ καὶ ἄμμος καὶ πηλὸς ἀμήχανος καὶ βόρβοροί εἰσιν, ὅπου ἂν καὶ [ἡ] γῆ ᾖ, καὶ πρὸς τὰ παρ' ἡμῖν κάλλη κρίνεσθαι οὐδ' ὁπωστιοῦν ἄξια. ἐκεῖνα δὲ αὖ τῶν παρ' ἡμῖν πολὺ ἂν ἔτι πλέον φανείη διαφέρειν· εἰ γὰρ δὴ καὶ μῦθον λέγειν καλόν, ἄξιον ἀκοῦσαι, ὦ Σιμμία, οἷα τυγχάνει τὰ ἐπὶ τῆς γῆς ὑπὸ τῷ οὐρανῷ ὄντα.

ἀλλὰ μήν, ἔφη ὁ Σιμμίας, ὦ Σώκρατες, ἡμεῖς γε τούτου τοῦ μύθου ἡδέως ἂν ἀκούσαιμεν.

ἀ-μήχανος, -ον: impossible, inconceivable, 5
ἅλμη, ἡ: sea-water, brine, 2
ἄμμος, ὁ: sand, 1
ἄξιος, -α, -ον: worthy of, deserving of, 15
βορβορός, ὁ: mire, filth, 2
δια-φέρω: to differ, surpass, carry over, 8
δια-φθείρω: to destroy, corrupt, kill, 6
ἐν-θάδε: here, hither, thither, 17
ἔπος, -εος, τό: a word, 4
ἡδέως: sweetly, pleasantly, gladly, 6
θάλαττα, ἡ: the sea, 12
κάλλος, -εος, τό: beauty, 2
κατα-βιβρώσκω: corrode, eat up, devour, 1
κρίνω: to choose, pick out; judge, decide, 2
μῦθος, ὁ: story, word, speech, 7
ὅπου: where, 1
ὁπωστιοῦν: in any way whatever, 5
οὐρανός, ὁ: sky, heaven, 10
πηλός, ὁ: mud, clay, earth, 4
πλέων, -ον: more, greater, 17
σῆραγξ, σήραγγος, ἡ: hollow rock, cave, 1
τέλειος, -α, -ον: perfect, completed, 1
φύω: to bring forth, beget, engender; am by nature, 14

2 **ὁ ἐνθάδε**: modifying ὁ τόπος
διεφθαρμένα ἐστὶν: periphratic pf. pass. (pf. pple + εἰμί), διαφθείρω ; the use of neuter pl. following plural subjects of different genders is not uncommon
καταβεβρωμένα (ἐστὶν): see above,
3 **τὰ...θαλάττῃ**: *things*…; supply verb
ὑπὸ...: gen. of cause
4 **ἄξιον λόγου**: *worthy of mention*
ὡς ἔπος εἰπεῖν: *so to speak*; an inf. absolute
6 **ἀμήχανος**: i.e. inconceivably immense
εἰσιν: 3rd pl. pres. εἰμί
ὅπου ἂν...ᾖ: *wherever*…; 3s pres. subj. εἰμί + ἄν in an indefinite relative clause
7 **πρὸς τὰ παρὰ ἡμῖν κάλλη**: *in comparison to beautiful things where we live they (are) in no way at all worthy to be judged*; κάλλεα; παρὰ is similar to *apud* or *chez*, see 109d4; κρίνεσθαι is an epexegetic inf.
8 **ἐκεῖνα δὲ**: *but those things*…; i.e. real earth
τῶν παρ(ὰ) ἡμῖν: *than those where we live*…; gen. of comparison with διαφέρειν, for παρὰ ἡμῖν, see a7
πολὺ: i.e. inconceivably immense
ἂν φανείη: *would appear*; 3s aor. pass. opt. φαίνω
b1 **εἰ γὰρ δὴ...καλόν (ἐστι)**: *if indeed (it is) right also*…; καλόν is impersonal, γὰρ is anticipatory, 'since' or 'for,' but here left untranslated
ἄξιον (ἐστί): (*it is*)…; predicate, supply a linking verb
2 **οἷα**: *the things which*…; the missing antecedent is obj. of ἀκοῦσαι
τυγχάνει: + pple, see p. 20
3 **ἀλλὰ μὴν**: *well certainly*; a strong assent
τούτου τοῦ μύθου: gen. of source, object of potential aor. opt. ἀκούσαιμεν

λέγεται τοίνυν, ἔφη, ὦ ἑταῖρε, πρῶτον μὲν εἶναι τοιαύτη ἡ γῆ αὐτὴ ἰδεῖν, εἴ τις ἄνωθεν θεῷτο, ὥσπερ αἱ δωδεκάσκυτοι σφαῖραι, ποικίλη, χρώμασιν διειλημμένη, ὧν καὶ τὰ ἐνθάδε εἶναι χρώματα ὥσπερ δείγματα, οἷς δὴ οἱ γραφῆς καταχρῶνται. ἐκεῖ δὲ πᾶσαν τὴν γῆν ἐκ τοιούτων εἶναι, καὶ πολὺ ἔτι ἐκ λαμπροτέρων καὶ καθαρωτέρων ἢ τούτων· τὴν μὲν γὰρ ἁλουργῆ εἶναι [καὶ] θαυμαστὴν τὸ κάλλος, τὴν δὲ χρυσοειδῆ, τὴν δὲ ὅση λευκὴ γύψου ἢ χιόνος λευκοτέραν, καὶ ἐκ τῶν ἄλλων χρωμάτων συγκειμένην ὡσαύτως, καὶ ἔτι πλειόνων καὶ καλλιόνων ἢ ὅσα ἡμεῖς ἑωράκαμεν. καὶ γὰρ αὐτὰ ταῦτα τὰ κοῖλα αὐτῆς, ὕδατός τε καὶ ἀέρος ἔκπλεα ὄντα, χρώματός τι εἶδος παρέχεσθαι στίλβοντα ἐν τῇ τῶν

ἀήρ, ἀέρος m.: air, mist 16
ἁλουργής, -ές: purple, of purple dye, 1
ἄνω-θεν: from above, from on high, 2
γραφεύς, -έως, ὁ: painter, 1
γύψος, ὁ: chalk, 1
δεῖγμα, ατος, τό: sample, pattern, sketch, 1
δια-λαμβάνω: receive separately, divide, seize by the middle (wrestling metaphor), 2
δωδεκά-σκυτος, -ον: of 12 strips of leather, 1
εἶδος, -εος, τό: form, shape, figure, 17
ἔκ-πλεος. -ον: quite full, complete, (gen), 1
ἐκεῖ: there, in that place, 17
ἐν-θάδε: here, hither, thither, 17
ἑταῖρος, ὁ: a comrade, companion, mate, 11
θαυμαστός, -ή, -όν: wonderful, marvelous, 11
θεάομαι: to see, watch, look at; consider, 3
καλλιων, -ον: more noble or beautiful, 7
κάλλος, -εος, τό: beauty, 2
κατα-χράομαι: use, employ (+ dat.), 1
κοῖλος, -η, -ον: hollow, hollowed, 5
λαμπρός, -ή, -όν, ὁ: bright, brilliant, 1
λευκός, -ή, -όν: white, bright, brilliant, 3
παρ-έχω: to provide, furnish, supply, 16
πλέων, -ον: more, greater, 17
ποικίλος, -η, -ον: varied; many-colored, 2
στίλβω: to gleam, flash, be bright, 1
συγ-κείμαι: be composed, be compounded, 6
σφαῖρα, ἡ: ball, sphere, globe, 1
ὕδωρ, ὕδατος, τό: water, 14
χιών, χιόνος, ἡ: snow, 7
χρυσο-ειδής, -ές: of gold, like gold, 1
χρῶμα, -ατος, τό: color, complexion, 9
ὡσ-αύτως: in the same manner, just so, 4

5 **λέγεται**: subject ἡ γῆ αὐτὴ
πρῶτον: adverbial acc.
τοιαύτη...ἰδεῖν: *this sort to look upon*; pred. + epexegetic inf., aor. inf. ὁράω
6 **θεῷτο**: *one should...*; pres. mid. opt.
7 **αἱ...σφαῖραι**: i.e. balls stitched together
χρώμασιν: dat. pl. of means
διειλημμένη: *divided*; i.e. separated; pf. pass
ὧν...τὰ...χρώματα: *of which the colors here*; the antecedent is σφαῖραι
8 **ὥσπερ δειγματα**: *just as samples*; i.e. paint samples
οἷς δὴ: *the very ones which…*
γραφῆς: γραφέ-ες, nom. pl. γραφεύς
c1 **τοιούτων**: i.e. varied colors
2 **πολὺ**: *much, far*; adv. acc. (acc. of extent of degree) modifying the comparative
(ἐκ) τούτων: supply missing preposition
3 **τὴν μὲν ἁλουρῆ**: *one part is purple*; ἁλουρέ-α
τὸ κάλλος: *in…*; acc. of respect
4 **τὴν δὲ χρυσοειδῆ**: *another part (is) golden*
τὴν δὲ ὅση: *and another part is as…as*
χιόνος: *than…*; gen. of compariston
6 **ἑωράκαμεν**: 1p pf. ὁράω
d1 **χρώματός...**: *the appearance of color*

